## Ἀσματικὴ ἀκολουθία

# τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου Ἄσσου, τοῦ θαυματουργοῦ.

## Τῇ 10ῃ, μηνὶ Ἰουλίῳ




ἐπιμέλεια
Λουκᾶς Λουκᾶ
Γεράσιμος Μοναχὸς Ἁγιορείτης
Ἰούνιος 2023

# ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Προοιμιακὸς

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

ψαλμὸς ργʹ 103

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.
Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.
Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.
Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία, εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.
Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.
Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνά μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.
Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.
Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.
Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
Ἔθου σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.
Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς

σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.
Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.
Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.
καὶ πάλιν
Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. (γ΄)
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

## Ἀνοιξαντάρια

Θεοδώρου Φωκαέως

### Ἦχος λ πα Νη

Μουσική Συλλογή
Γεωργίου Πρωγάκη
Εσπερινός, 1909 σ.2#




σο ο ο ον ται χρη η στο ο ο τη η η η τος
α πο στρε ε ε ψαν τος δε σου το ο ο προ σω ω
πο ον τα ρα χθη η η σο ο ο ο ον ται δο
ξα α σοι οι ο Θε ο ο ο ος αλ λη λου ου ου
ι ι ι ι α
Α ν τα νε λει εις το Πνε ε ευ μα α α αυ
τω ω ων και εκ λει ει ει ψου ου ου ου σι
και εις τον χου ου ουν α α αυ τω ων ε πι
στρε ε ε ψου ου ου ου σιν δο ξα α σοι οι ο Θε
ο ο ο ος αλ λη λου ου ου ι ι ι ι α


Ε ξα πο στε λεις το ο Πνε ε ευ μα α α α
σου και κτι σθη η σο ον ται αι και α να και
νι ι ι ει ει εις το προ ο σω ω πον τη η ης γη
ης Δο ξα σοι Πα α α τερ δο ο ξα α σοι οι Υι ι
ε ε ε ε ε δο ξα α σοι το Πνε ε ευ μα α
το ο ο Α α γι ι ι ον δο ξα α σοι οι
ο Θε ο ος αλ λη λου ου ου ι ι ι ι α
Η η τω η δο ξα α Κυ υ ρι ι ι ου
ου εις τους αι ω ω να α ας ευ φραν θη η σε
ται αι αι Κυ ρι ι ο ος ε πι τοις ε ε ερ


γοι οις α α αυ του δο ξα σοι οι οι Α γι ι ε δο
ο ο ξα α σοι οι Κυ υ υ ρι ι ι ι ε δο
ξα α σοι οι Βα σι λευ ου ου ρα α α α νι
ι ι ε ε ε δο ξα α σοι οι ο Θε ο ο
ο ος α α αλ λη λου ου ου ι ι ι ι α
Ο ε πι βλε ε ε ε ε πων ε ε πι ι ι τη η
η ην γην και ποι ων α α αυ την τρε ε ε ε
ε ε ε μειν ο α πτο με ε νος των ο ρε
ε ω ω ων και κα πνι ι ι ι ι ζο και κα
πνι ι ζο ο ον ται δο ο ξα σοι οι οι Α γι ι


ε δο ο ξα α σοι οι Κυ υ υ ρι ι ι ι ε
δο ο ξα α α σοι Βα σι λευ ου ου ρα α α
α α α α νι ι ι ι ου ρα α νι ι ι ε
δο ο ξα α α σοι το Πνε ε ευ μα το α α α
α α α γι ι ι το α α γι ι ο ον δο ξα α
σοι οι ο Θε ο ο ο ο ος Αλ λη λου ου ου
ι ι ι α α
σω τω Κυ ρι ι ι ω ω εν τη ζω ω
η η η η μου ψα λω ω τω Θε ε ω ω ω μου ε
ως υ υ πα α αρ χω ω δο ξα α σοι οι τρι συ


πο ο στα α τε Θε ε ο ο ο τη ης Πα α α
α α τερ Υι υι ε και Πνε ε ευ μα α σε ε προσ
κυ υ νου ου ου ου με ε εν και δο ο ξα α α ζο ο
ο ο μεν δο ο ξα α σοι οι ο Θε ο ο ο ο
ος Αλ λη λου ου ου ι ι ι ι α
Η δυν θει ει ει η α αυ τω η δι α λο ο
γη η η η μου ε γω ω δε ε ευ φραν θη η
σο ο ο μαι ε πι τω Κυ υ ρι ι ι ω ω
δο ξα α σοι οι Πα α τε ερ α α α να α α αρ
χε δο ξα α σοι Υι ε συ υ υ να να αρ χε δο ξα α


σοι το Πνε ε ευ μα α το ο ο α α γι ι ι
ον το ο μο ου ου σι ι ι ον και ο μο
ο ο ο ο ο θρο ο και ο μο ο θρο ο νο ον Τρι
α ας α γι α δο ο ο ο ο ξα α α α σοι δο
ο ξα α σοι οι ο Θε ο ο ο ο ος Αλ λη
λου ου ου ου ου ι ι ι ι α
Ε χ λει ποι εν α μαρ τω ω ω λοι α πο ο
ο ο τη η η η ης γη ης και α α α νο ο ο
μοι οι οι ω στε ε μη η υ υ πα α αρ χει
ειν α α αυ τους δο ξα σοι οι οι Πα α α τερ δο ξα α


σοι Υἱ υι ε ε ε ε δο ο ξα α α σοι το Πνε ε
ευ μα α α το α α α α α α γι ι ι το α α
γι ι ο ον Τρι α ας α γι α δο ο ο ξα α α
α σοι δο ο ξα α σοι οι ο Θε ο ο ο ο
ος Αλ λη λου ου ου ι ι ι ι α
Ε υ λο ο ο ο γει η ψυ χη η η η
μου το ον Κυ υ υ ρι ι ι ι ον ο Η λι
ο ος ε ε ε γνω τη ην δυ υ υ σι ιν α α αυ του
ε ε ε ε ε θου σκο ο ο τος και ε γε ε ε
νε ε το ο ο νυ υξ δο ο ξα α σοι οι Βα


σι λε ε ε ευ ε που ου ρα α α α α α α
νι ι ε ε που ρα α νι ι ι ε δο ο ξα
α α σοι Παν το κρα α α το ο ορ συ υ υν
Υι υι ω ω και Πνε ευ μα α α τι Δο ο ξα
σοι οι ο Θε ε ο ος Αλ λη λου ου ου ι ι ι ι
α
Ω ς ε με γα λυ υ υν θη η η τα ε ερ γα
σου ου Κυ ρι ι ε πα α α α αν τα εν σο φι
ι ι α ε ποι οι οι η η η η σας δο ξα α σοι
Πα α τε ερ α α γε ε εν νη η η η τε δο



ξα α σοι οι Υι ε ε ε ε ε γεν νη η τε δο ο
ξα α α α σοι το Πνε ευ μα το ο ο α γι ι
ο ον το εκ του Πα α τρο ος ε εκ πο ρε ευ
ο ο ο με ε ε ε νον και εν Υι ω α να παυ
ο ο ο με ε ε ε νον Τρι α ας α γι α δο
ο ο ξα α α α σοι δο ο ξα α σοι οι ο Θε
ο ο ο ο ος Αλ λη λου ου ου ι ι ι ι
α
Δ ο ο ξα Πα α τρι ι ι ι και Υι υι ω
και αι α α γι ω Πνε ε ευ μα α α α τι


Κ αι νυ υ υ υν και α α ει και εις τους αι
ω ω να α ας των αι ω ω ω νω ων α α
α μην
λ λ λη λου ι ι α α λη λου ι ι α αλ
λη λου ι ι α δο ξα α σοι οι ο Θε ο ος αλ λη λου
ου ου ι ι ι ι α
λ λ λη λου ι ι α αλ λη λου ι ι α αλ
λη λου ι ι α δο ξα α σοι οι ο Θε ο ος αλ λη λου
ου ου ι ι ι ι α
λ λ λη λου ου ι ι α αλ λη λου ι ι α




## τὰ εἰρηνικὰ

### Ἦχος Νη

Δημητρίου Σουρλαντζή
Θ. Λειτουργία 1992 σ.1*




ἑτέρα




Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




## Ἐπιλύχνιοι Ψαλμοί

Ἦχος λ/π Πα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον
1905 σ.263#


Κ υ ρι ι ε ε κε κρα α ξα α προ ος σε εισ α
α α κου ου σο ον μου εισ α κου σο ο ον μου Κυ
υ ρι ι ι ε Κυ ρι ε ε κε κρα α ξα προ ος σε
ε εισ α α α κου ου σο ον μου προ σχες τη φω νη η η η τη
ης δε η η σε ω ω ω ως μου εν τω κε κρα
γε ναι αι με προ ος σε ε εισ α κου σο ον μου Κυ υ υ
υ ρι ι ι ι ε
Κ α τευ θυν θη τω η η η προ ο οσ ε ευ χη η
μου ως θυ μι ι α α μα α εν ω ω ω πι ο ο
ο ον σου ε ε παρ σι ις των χει ρω ω ων μου θυ
σι α ε ε ε ε σπε ε ε ρι ι νη η η εισ




## Cτιχολογία

### Ἦχος λ π Πα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον
1905 σ.264*




λεγ ξει με ε λαι ον δε α μαρ τω λου μη λι πα να τω την κε
φα λη ην μου
Ο τι ε τι και η προσ ευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να πε
τρας οι κρι ται αυ των
λ κου σον ται τα ρη μα τα μου ο τι η δυν θη
σαν ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ
πι σθη τα ο στα αυ των πα ρα τον α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ
μοι οι μου ε πι σοι ηλ πι σα μη αν τα νε λης την ψυ χη ην


μου
Φ υ λα ξο ον με α πο πα γι δος ης συν ε στη σαν
το μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την
α νο μι αν
Π ε σου ουν ται εν αμ φι βλη στρω αυ των οι α μαρ
τω λοι κα τα μο νας ει μι ε γω ω ε ως αν
πα ρε ελ θω
Φ ω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη μου
προς Κυ ρι ον ε δε η η θην
Ε κ χε ω ε νω πι ον αυ του την δε η σι ιν


μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Ε ν τω ε κλει πει ειν εξ ε μου το πνευ μα μου και
συ ε ε γνως τας τρι βους μου
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο μην ε κρυ ψαν
πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α και ε πε βλε
πον και ουκ ην ο ε πι γι νω σκων με
Α πω λε το φυ γη απ ε μου και ουκ ε στιν ο εκ
ζη τω ων την ψυ χη ην μου
Ε κε ε κρα ξα προς σε Κυ ρι ε ει ει πα συ


ει η ελ πις μου με ρις μου ει εν γη ζω ων των
Π ρο ο σχες προς την δε η σι ιν μου ο τι ε τα
πει νω θην σφο δρα
Ρ υ σαι με εκ των κα τα δι ω κον των με ο τι ε
κρα ται ω θη σαν υ περ ε με
Є ξα γα γε εκ φυ λα κης την ψυ χη ην μου του
ε ξο μο λο γη σα σθαι αι τω ο νο μα τι σου
Є με υ πο με νου σι δι καιοι ε ως ου αν
τα πο δως μοι
Є κ βα θε ων ε κε κρα ξα σοι Κυ ρι ε Κυ ρι




## Στιχηρὰ Προσόμοια

Ὅλην ἀποθέμενοι — ἦχος πλ.β΄

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ὅλος ἐκ νεότητος, τὰς ἡδονὰς τὰς τοῦ βίου, ἀποῤῥίψας ὅσιε, τῆς Τριάδος γέγονας, καταγώγιον, καὶ λαμπρῶς ἤστραψας, ἀρετῶν ἐν χάρισι, παμμακάριστε Γρηγόριε, καὶ κατεσκήνωσας, ἔνθα λάμπει φῶς τὸ ἀνέσπερον, ἰσάγγελος δεικνύμενος, ταῖς καθαρωτάταις μεθέξεσιν. Ὅθεν ἀνυμνοῦμεν, καὶ πόθῳ σὲ γεραίρομεν πιστοί, τὴν σὴν τελοῦντες πανήγυριν, ἀξιομακάριστε.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε,ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.
Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Πλοῦτον ἀναφαίρετον, ἔχει σε νῆσος ἡ Λέσβος, Πάτερ ἀξιάγαστε, φαειναῖς αὐγάζοντα, ταῖς λαμπρότησι· διόπερ συντήρησον, τοὺς οἰκοῦντας ταύτην, ἐτησίως σοι προστρέχοντας, σοφὲ Γρηγόριε, καὶ ἀρυομένους ἰάματα, καὶ τούτους διαφύλαξον, ἐκ παντοίων νόσων καὶ θλίψεων, ὅπως ἀενάως, τιμῶσι τὴν θαυμάσιον πηγήν, τὴν ἐκ τοῦ σοῦ θείου μνήματος, ὕδωρ ἀναβλύζουσαν.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Τὸν νοῦν σου προσήλωσας, ὅλως Θεῷ τῷ σωτῆρι, ἱερὲ Γρηγόριε, τοῦ φθαρτοῦ γενόμενος, κόσμου ἔξαρνος, τὰς ἐρήμους ᾤκησας, πόθῳ τοῦ Κυρίου, τὰ τερπνὰ μηδὲν ἡγούμενος· διὸ ἠξίωσαι, δαίμονας ἐλαύνειν σφοδρότατα, καὶ θείαις ἐπικλήσεσιν, ἐκτελεῖν ἐξαίσια θαύματα· ἀλλ᾽ οὖν μὴ ἐλλίπῃς, καὶ νῦν ὑπὲρ ἡμῶν ἐκδυσωπῶν, Χριστὸν τὸν μόνον φιλάνθρωπον, Ἱεράρχα μέγιστε.

Ἔδωκας σημείωσιν — ἦχος δ΄

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις,
καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ὤφθης ἀπερίτρεπτος, ταῖς μεθοδείαις τοῦ ὄφεος, προσευχαῖς καὶ δεήσεσι, σχολάζων μακάριε, καὶ ταῖς ἀγρυπνίαις, καὶ καθυποτάττων, τὸ ἐμπαθὲς τοῦ λογισμοῦ, καὶ χαλινώσας σαρκὸς τὸ φρύαγμα· διό σοι ἀντημείψατο ἐπουρανίοις χαρίσμασιν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Πρόστηθι τῇ ποίμνῃ σου, τῇ νεολέκτῳ Γρηγόριε, ὡς ποιμὴν ἐννομώτατος, καὶ ταύτην ἐξάρπασον, ἐξ ἀγρίων λύκων, τῶν ἐπεμβαινόντων, καὶ σκορπιζόντων ἀφειδῶς, εἰς ἐρημίας ὄρη καὶ βάραθρα, τῇ ῥάβδῳ τῶν δογμάτων σου, καθυποτάξας ὁδήγησον, ἐπὶ χλόην σωτήριον, καὶ πρὸς ὕδωρ ἀφέσεως.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Δῶρον ἀξιέραστον, τῇ Ἱερᾷ σε παρέσχετο, Ἰησοῦς ὁ φιλάνθρωπος, αὐτὸν ἀγαπήσαντα, ἐκ ψυχῆς παμμάκαρ· ὅθεν δυσωπεῖ σε, ὑπὲρ αὐτῆς ἐκλιπαρῶν, μὴ διαλίπῃς ἀεὶ τὸν Κύριον, παντοίων ἐκλυτρώσασθαι, πειρατηρίων καὶ θλίψεων, Ἱεράρχα
Γρηγόριε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

## Δοξαστικὸν

ἦχος πλ.β΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Δεῦτε τῆς Ἄσσου τὸν πρόεδρον, καὶ τῆς Λέσβου τὸ καύχημα, τὸν θεῖον Γρηγόριον, ἐν ᾠδαῖς πιστοί, καταστέψωμεν λέγοντες· Χαίροις Μυτιληναίων φρουρός, καὶ τῆς Ἄσσου πρόεδρος σεπτός, καὶ προστάτης θερμότατος· χαίροις τῆς Ἱερᾶς τὸ ἀγλάϊσμα, τῆς Τριάδος πρόμαχος καὶ τῶν δαιμόνων φυγαδευτής· ἀλλ᾽ ὡς παρρησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν πίστει τελούντων τὴν πάνσεπτον μνήμην σου.

Ἰωάννου Ἀρβανίτη

Ἦχος λ/π Πα

Μουσικὸν Λειμωνάριον
Ι.Μ.Μυτιλήνης, Ερεσοῦ & Πλωμαρίου
σ.377*




Δ ε ε ε ε ε ε ε ε ε ευ τε ε της Α α
ασ σου το ον προ ε ε δρον και της Λε σβου το κα α
α αυ χη η η η μα το ον θει ει ον Γρη η
γο ο ο ο ο ρι ι ι ι ι ιι ι ι ον εν
ω δαι αι αι αι αις πι ι στοι οι ιοι οι οι οι κα τα
στε ε ε ε ψω ω ω ω μεν λε ε ε ε ε
γο ο ο ο ιο ο ον τες χαι αι αι ροις Μυ
τι λι ναι ων φρου ου ρος και της Α ασ σου ου προ ε
ε δρος σε ε πτος και προ στα α α α της θε ερ μο
ο ο ο ο ο τα α α ια α α τος χαι αι αι


ροις της Ι ε ε ρα α ας το α α γλα α α α ι
ι ι ι σμα της Τρι α α δο ο ος προ ο μα α α
χος και των δαι μο ο ο νω ω ων φυ υ υ υ
γα α α δεύ της αλλ ω ως παρ ρη η σι ι α
αν ε ε ε χων προς Χρι στο ο ο ον τον Θε ε ο ο
ο ο ο ο ο ο ο ο ον μη πα α α α α αυ
ση πρε σβε ε ε ε ε ε ε ε ε ε ιιε ε
ε ε ε ευ ων υ περ τω ων πι ι στεί τε ε
λου ουν των την πα αν σε ε ε ε ε ε πτον
μνη η η η η μη η η η η η ην σου

## Θεοτοκίον

ἦχος πλ.β'

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τίς μὴ μακαρίσει σε, παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.271#




προ ο η ηλ θεν α φρα α α στως σα αρ χω ω ω
θεις φυ σει Θε ε ε ο ο ος υ πα α αρ χων
και φυ σει γε νο ο με ε νος α αν θρω ω ω πος
δι ι η η η η μας ουκ εις δυ α α δα α
προ σω ω ω ω πων τε μνο ο με ε ε ε νος αλλ εν δυ
α α δι ι φυ υ σε ε ων α συγ χυ υ τως γνω ω
ω ρι ζο ο με ε ε ε νος αυ το ον ι ι κε τε
ευ ε σε μνη πα αμ μα χα α α α ρι ι ι ι
στε ε λε η θη η η η η η ναι τα ας ψυ χα α
ας η η η η μω ω ω ω ων

# Εἴσοδος – Ἐπιλύχνιος Εὐχαριστία

Σοφία. Ὀρθοί!

Ἰωάννου Σακελλαρίδου

Ἦχος Δι

Μουσικός Πανδέκτης
Εσπερινός-Απόδειπνον
«ΖΩΗ»1977 σ.33#






# Ἑσπέρας προκείμενον

Κυριακῇ ἑσπέρας
ψαλμός 133:1

Ἦχος Νη

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.59#




∴ Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.




Δευτέρᾳ ἑσπέρας
ψαλμός 4

Ἦχος Βου

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.59#



κε κρα γε ε ναι με προς αυ τον (β´)

∴ Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με· οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Κ υ ρι ος εισ α κου σε ται αι μου εν τω

κε κρα γε ναι με προς αυ το ο ο ο ον

Τρίτη ἑσπέρας
ψαλμός 22

## Ἦχος Πα

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.60#

Τ ο ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με

πα σας τας η με ρας της ζω ης μου (β´)

∴ Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.

Τ ο ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με

πα σας τας η με ρας της ζω η ης μου ου ου

Τετάρτη ἑσπέρας
ψαλμός 53

## Ἦχος Κε

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.60#




∴ Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.




Πέμπτη ἑσπέρας
ψαλμός 120

Ἦχος λ π Βου

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.61#




∴ Ἦρα τους ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.






Παρασκευῆ ἑσπέρας
ψαλμός 58

## Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.61#




∴ Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.




## Ἀναγνώσματα

### Δευτερονομίου τὸ ἀνάγνωσμα.

Σοφία. Πρόσχωμεν.

Κεφ. 1:8-11,15-17

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· Ἴδετε παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν· εἰσελθόντες κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ἡμῶν, τῷ Ἀβραάμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ, δοῦναι αὐτοῖς αὐτήν, καὶ τῷ σπέρματι αὐτῶν μετ᾽ αὐτούς. Καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· Οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς· Κύριος ὁ Θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστὲ σήμερον ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν προσθείη ὑμῖν, ὡς ἐστέ, χιλιοπλασίως· καὶ εὐλογήσαι ἡμᾶς, καθότι ἐλάλησεν ὑμῖν. Καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφούς, καὶ ἐπιστήμονας, καὶ

συνετούς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ᾽ ὑμῶν· χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ἡμῶν. Καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· Διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνετε δικαίως ἀνὰ μέσον ἀνδρός, καὶ ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀνὰ μέσον τοῦ προσηλύτου αὐτοῦ. Οὐκ ἐπιγνώσεσθε πρόσωπον ἐν κρίσει· κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν.

## Δευτερονομίου τὸ ἀνάγνωσμα.

### Σοφία. Πρόσχωμεν.

Κεφ. 10:14-18, 20-21

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανός, καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς. Πλὴν τοὺς πατέρας ἡμῶν προείλετο Κύριος ἀγαπᾶν αὐτούς, καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ᾽ αὐτούς, ὑμᾶς παρὰ πάντα τὰ ἔθνη, κατὰ τὴν ἡμέραν ταύτην. Καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. Ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν Κυρίων· ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερός, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐ δ᾽ οὐ μὴ λάβῃ δῶρον· ποιῶν κρίσιν προσηλύτῳ, καὶ ὀρφανῷ, καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κοληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. Αὐτὸς καύχημά σου, καὶ αὐτὸς Θεὸς σου ὅστις ἐποίησέ σοι τὰ μεγάλα καὶ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

### Σοφία. Πρόσχωμεν.

Κεφ. 4:7-15

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, **καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.**

## Δεήσεις

# Ἦχος λ π Νη

Γαβριὴλ Κουντιάδου ἱερομονάχου
Μουσικόν Πεντηκοστάριον
α΄ ἔκδοσις 1931-1935
ἐπανέκδοσις 1991 σ.63*




Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.
Κύριε ἐλέησον.
Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε ἐλέησον.
Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν.
Κύριε ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Κύριε ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως

καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτητόρων τῆς ἁγίας ἐκκλησίας ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Πληρωτικά

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου

αἰτησώμεθα.
Παράσχου Κύριε.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου Κύριε.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου Κύριε.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Παράσχου Κύριε.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί, Κύριε.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Εἰρήνη πᾶσι.
Καὶ τῷ Πνεύματί σου.
Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνομεν.
Σοί, Κύριε.
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Εἰς τὴν Λιτὴν

ἦχος α΄

Ἠγάπησας ἱεράρχα, τὴν ἀνωτάτην φιλοσοφίαν, καὶ ἔξω κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα, καὶ ἔσοπτρον ἀκηλίδωτον Θεοῦ θεῖον ἀνεδείχθης, καὶ ὢν ἀεὶ ἡνωμένος φωτί, φῶς προσελάμβανες, καὶ τρανότερον τοῦ μακαρίου ἔτυχες τέλους· πρέσβευε πάτερ Γρηγόριε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.


Η γα πη σας ι ε ε ρα α αρ χα την α νω τα α
τη ην φι ι ι λο ο σο φι ι αν και ε ξω χο
σμου ε ε γε ε ε νου ζων υ πε ε ερ τα ο ρω
ω ω με ε ε ε να και ε σο ο πτρον α κη λι ι
δω ω τον Θε ε ου ου θει ει ον α α νε δει ει χθης
και ων α α ει η νω με ε ε ε ε νο ος φω ω
ω τι ι φω ωως προσ ε λα α αμ βα α α α νες και
τρα νω τε ε ρον του μα κα α ρι ι ου ε τυ υ
χες τε ε ε ε λους πρε σβευ ε ε πα τερ Γρη η γο ρι
ι ε υ υ περ των ψυ χω ω ων η η η η μων

ἦχος α΄

Ἠγάπησας ἱεράρχα, τὴν ἀνωτάτην φιλοσοφίαν, καὶ ἔξω κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα, καὶ ἔσοπτρον ἀκηλίδωτον Θεοῦ θεῖον ἀνεδείχθης, καὶ ὢν ἀεὶ ἡνωμένος φωτί, φῶς προσελάμβανες, καὶ τρανότερον τοῦ μακαρίου ἔτυχες τέλους· πρέσβευε πάτερ Γρηγόριε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ἦχος α΄

Ἡ πηγὴ τῶν ἰαμάτων, ἕνα καὶ μόνον ἐθεράπευε τοῦ ἔτους· ἡ πηγὴ τοῦ ἱεράρχου, ἅπαν τὸ πλῆθος θεραπεύει τῶν νοσούντων· ἀνενδεὴς γὰρ ὑπάρχει καὶ ἀδαπάνητος, ὁ πλοῦτος τοῦ ἁγίου σου. Ταῖς αὐτοῦ ἱκεσίαις Χριστέ, ἐλέησον καὶ σῶσον ἡμᾶς.

ἦχος α΄

Ἀγάλλεται μὲν ἡ πληθὺς τῆς Λέσβου, κομπάζει δὲ μᾶλλον ἡ ἱερά, ἡ τὴν ἱεράν σου πλουτοῦσα λάρνακα· καὶ γὰρ ἀενάως, ὕδωρ ἐκβλύζει σωτήριον, τοῖς προσιοῦσιν ἐν πίστει, τὰς ἰάσεις παρέχον. Ἀλλ᾽ ὦ παμμάκαρ Γρηγόριε, μὴ διαλίπῃς πρεσβεύων,
ὑπὲρ τῶν πόθῳ τελούντων τὴν μνήμην σου.

ἦχος πλ.δ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τίς μὴ θαυμάσει, τίς μὴ δοξάσει, τίς μὴ ὑμνήσει πιστῶς, τοῦ ἐνδόξου ἱεράρχου τὰ θαύματα, ὅτι καὶ μετὰ τὴν ἁγίαν αὐτοῦ μετάστασιν, παρέχει πᾶσι τοῖς προσιοῦσι, πλουσίως τὰ ἰάματα· ἡ γὰρ ἐκ τοῦ τάφου αὐτοῦ, ἀενάως βρύουσα πηγή, τοῖς πᾶσι βραβεύει τὴν χάριν τῶν ἰάσεων· διὸ ᾄσωμεν ὕμνοις τῷ εὐεργέτῃ Θεῷ, τῷ ἀναδείξαντι αὐτόν, εἰς ἰατρείαν τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Θεοτοκίον

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

## Ἀρτοκλασία

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν

καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου καὶ τῶν δούλων αὐτοῦ τῶν ἐπιτελούντων τὴν ἁγίαν ἑορτὴν ταύτην καὶ προσφερόντων τὰ δῶρα ταῦτα.

Κύριε, ἐλέησον. (γ´)

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν καὶ τὴν πόλιν (χώραν ἢ νῆσον) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσει πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ᾽ ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Κύριε, ἐλέησον. μ´ (τετράκις ἀνὰ ι´ καὶ αὖθις ἐκ τρίτου).

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Κύριε, ἐλέησον. (γ´)

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησαι ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου και ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, (τοῦ ἁγίου τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἀμήν.

Ἦχος Δι




ἁγιορείτικα **Ἦχος λ/π ᾳ Πα** ὑπὸ Ἱεροθέου ἱεροδιακόνου*






## Ἦχος λ π q Κε

Πανδέκτη Εκκλ. Μουσικής
Δημοσθένους Παϊκόπουλου#






Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ, καὶ ἐξ αὐτῶν πεντακισχιλίους ἄνδρας χορτάσας, αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους τούτους, τὸν σῖτον, τὸν οἶνον, καὶ τὸ ἔλαιον· καὶ πλήθυνον αὐτὰ ἐν τῇ πόλει (χώρᾳ ἢ νήσῳ) ταύτῃ καὶ εἰς τὸν κόσμον σου ἅπαντα· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Μουσική Συλλογή
Γεωργίου Πρωγάκη
Εσπερινός 1909 σ.131#

## Ἦχος Γα






## Εἰς τὸν Στίχον

### Στιχηρὰ Προσόμοια

Ὅτε ἐκ τοῦ ξύλου — ἦχος β'

Ὅτε τῆς σαρκὸς τὰς ἡδονάς, καὶ τὴν ματαιότητα βίου, πάτερ ἐξέφυγες, τότε τῇ τοῦ Πνεύματος, ἐλάμφθης χάριτι, φωτισθεὶς τὴν διάνοιαν, ἀπέῤῥιψας πλοῦτον, καὶ τὴν περιφάνειαν, τῆς ἐπικήρου ζωῆς· ὅθεν τῷ Χριστῷ νῦν πρεσβεύεις, ὑπὲρ τῶν τιμώντων σε πόθῳ, ἀξιομακάριστε Γρηγόριε.

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χώρα ἐνοικήσας Ἱερᾶς, πρόμαχος αὐτῆς ἀνεδείχθης, ἐν πειρασμοῖς κραταιός, ἅγιε Γρηγόριε, ἀρχιεράρχα Χριστοῦ, ἣν καὶ νῦν διατήρησον, ἀλώβητον πάσης, προσβολῆς ἀλάστορος, καὶ ἐπηρείας ἐχθροῦ, ὅπως ἐτησίως γεραίρῃ, σοῦ τὴν ἀεισέβαστον μνήμην, τὸν Σωτῆρα Κύριον δοξάζουσα.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Μέγας ἀντιλήπτωρ καὶ θερμός, τοῖς ἐν Μυτιλήνῃ οἰκοῦσιν, ὑπάρχεις ἔνδοξε, ἅγιε Γρηγόριε, ἱερομύστα Χριστοῦ, καὶ διώκεις νοσήματα, τῶν πίστει καὶ πόθῳ, σοῦ τὴν πανaοίδιμον, μνήμην τελούντων σεπτῶς, λύων συμφορῶν καὶ κινδύνων, τούτους καὶ τῶν θλίψεων πάτερ, ἐν ταῖς πρὸς τὸν Κύριον πρεσβείαις σου.

### Δοξαστικόν

ἦχος πλ. β'

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ τὴν χάριν τῶν θαυμάτων οὐρανόθεν κομισάμενος, καὶ τὰς νόσους τῶν ἀνθρώπων, ἐκδιώκων τῇ δυνάμει Χριστοῦ, τῆς Μυτιλήνης ὑπάρχεις, στῦλος καὶ ἑδραίωμα, παμμακάριστε Γρηγόριε, καὶ τῆς ἱερᾶς καύχημα καὶ ἀγλάϊσμα· παῤῥησίαν ἔχων πρὸς Κύριον, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἰωάννου Ἀρβανίτη

## Ἦχος Πα

Μουσικὸν Λειμωνάριον
Ι.Μ.Μυτιλήνης, Ερεσοῦ & Πλωμαρίου
σ.381*




λη η νη ης υ πα αρ χει εις στυ λο ο ος και ε ε
δραι αι αι αι ω ω μα παμ μα χα ρι στε Γρη
γο ο ο ο ρι ι ι ι ε και της Ι ε ε ρα α
ας χα α αυ χη η η η χα α αυ χη μα α α α
α α α α και αι αι αι α γλα α α α α
α α α ι ι σμα παρ ρη σι ι ι αν ε
ε χων προ ος Κυ υ ρι ι ον αυ το ο ο
ον ι χε ε ε ε ε ε ε ε ε ιιε ε
ε ι ι χε ε ε ε τευ ε σω θη η η η
ναι τα ας ψυ χα α ας η η η η μων

## Θεοτοκίον

ἦχος πλ. β΄

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ ἱεράρχου, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Κωνσταντίνου Παπαγιάννη

Ἦχος

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.15/1055#




Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν

ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

## Τρισάγιον

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. (γʹ)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον. (γʹ)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Ἀπολυτίκιον

Τοῦ λίθου σφραγισθέντος ἦχος αʹ

Τοὺς ἄθλους τῶν ἁγίων, θερμῶς ἐπιζηλώσας, ἐδείχθης ἐν τῷ κόσμῳ, ἰσάγγελος τὸν βίον· ἐτίμησας ἣν εἴληφας ἀρχήν, τὸ τάλαντον αὐξήσας τοῦ Χριστοῦ, καὶ ὁσίως διαπρέψας, ταῖς ἀρεταῖς σου πάντας κατεφώτισας. Δόξα τῷ ὅν ἠγάπησας πολύ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ᾧ παρίστασαι Χριστῷ, πάτερ Γρηγόριε.

Τοῦ λίθου σφραγισθέντος — Ἦχος Πα — Μελωδὸς*






## Θεοτοκίον

ἦχος α´

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Θεοτοκίον

# Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.13#






## Ἀπόλυσις

*Μετὰ τὰ ἀπολυτίκια, ἐὰν προηγήθη ἀρτοκλασία·*

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Εὐλογία Κυρίου καὶ ἔλεος...
Ἀμήν.
Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων, ἀμήν.

*Ἐὰν δὲν προηγήθη ἀρτοκλασία·*

Σοφία!
Εὐλόγησον.
Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, σὺν τῇ ἁγίᾳ Ἐκκλησίᾳ (μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων, ἀμήν.

*Ἀκολούθως εἰς ἀμφοτέρας τὰς περιπτώσεις·*

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.
Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον. Εὐλόγησον πάτερ.
Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας

αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.
Ἀμήν.
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. (γ´)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον. (γ´)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε, στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (γ´)
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.
Κύριε, ἐλέησον. (γ´)
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Κύριε, ἐλέησον. (γ´)
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον πάτερ.
Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Ἑξάψαλμος

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (γ´)
Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (β´)

### ψαλμὸς γ´

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ.
Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.
Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.
Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.
Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.
Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι.
Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.
καὶ πάλιν
Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου.

### ψαλμὸς λζ´ 37

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.
Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.
Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.
Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.
Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.
Ὅτι εἶπα· μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

καὶ πάλιν

Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

## ψαλμὸς ξβʹ 62

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.
Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι

ἐνεφράγη στόμα λαλούντων ἄδικα.

καὶ πάλιν

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια, Δόξα σοι ὁ Θεός. (γ′)

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ψαλμὸς πζ′ 87

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἱνατί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;

Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.

Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα.

Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

καὶ πάλιν

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

## ψαλμὸς ρβ′ 102

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾿ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

καὶ πάλιν

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

## ψαλμὸς ρμβʹ 142

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.
Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ

ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.
Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.
Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

καὶ πάλιν

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (β')
Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια. Δόξα σοι ὁ Θεός. (γ')
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

## Συναπτή

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον. (μετὰ ἀπὸ κάθε δέησιν)
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν,

θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς πόλεως καὶ ἐνορίας ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί, Κύριε.
Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.13#




∴ Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
∴ Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.



∴ Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. ↥

## Ἀπολυτίκιον

Τοῦ λίθου σφραγισθέντος ἦχος α´

Τοὺς ἄθλους τῶν ἁγίων, θερμῶς ἐπιζηλώσας, ἐδείχθης ἐν τῷ κόσμῳ, ἰσάγγελος τὸν βίον· ἐτίμησας ἣν εἴληφας ἀρχήν, τὸ τάλαντον αὐξήσας τοῦ Χριστοῦ, καὶ ὁσίως διαπρέψας, ταῖς ἀρεταῖς σου πάντας κατεφώτισας. Δόξα τῷ ὃν ἠγάπησας πολύ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ᾧ παρίστασαι Χριστῷ, πάτερ Γρηγόριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. ⇗

Τοῦ λίθου σφραγισθέντος

### Ἦχος Πα

Μελωδὸς*






## Θεοτοκίον

ἦχος α΄

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυϊδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Θεοτοκίον

### Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.13#






## Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα.

Τὸν συνάναρχον Λόγον — ἦχος πλ.α´

Τὸν τῆς Ἄσσου ποιμένα, σοφὸν Γρηγόριον, ἀνευφημήσωμεν πάντες, οἱ εὐσεβεῖς εὐλαβῶς, τὸν ποικίλους πειρασμοὺς καθυπομείναντα, καὶ τῶν δαιμόνων τὴν ἰσχύν, ἀποσοβήσαντα στεῤῥῶς, καὶ πλάνην καταβαλόντα· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὸ ἐξαίσιον θαῦμα, τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος τόκος, ὁ τῆς λοχείας σου, ἐν σοὶ ἐγνώρισται Ἁγνὴ Ἀειπάρθενε· καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

## Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα

Τὴν σοφίαν καὶ Λόγον ἦχος πλ.δ΄

Ἰαμάτων δοτῆρα θαυματουργόν, καὶ θαυμάτων λαμπτῆρα φωταγωγόν, ἡ χάρις τοῦ Πνεύματος, σὲ τοῖς πᾶσιν ἀνέδειξε· τὴν γὰρ δαιμόνων πλάνην, ἀνδρείως κατέβαλες, καὶ τῶν πιστῶν ἁπάντων, τὸν νοῦν κατεφώτισας. Ὅθεν ἰατρεῖον, τῶν ψυχῶν κεκτημένοι, τὸν πάνσεπτον τάφον σου, ἐν αὐτῷ καταφεύγομεν, ἱεράρχα Γρηγόριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην Πανάμωμε, ἁμαρτιῶν τε φόρτῳ φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα ᾌδου, πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

## Μετὰ τὸν Πολυέλεον, Κάθισμα

Τὸν συνάναρχον Λόγον ἦχος πλ.α΄

Ἐγκρατείᾳ τὸν βίον σου κατεκόσμησας, καὶ νεκρώσας τὸ σῶμά σου, ἐξηφάνισας, τοῦ ἐχθροῦ τὰς προσβολάς, πάτερ Γρηγόριε· καὶ μετέστης πρὸς Θεόν, εἰς τὴν αἰώνιον ζωήν, ὡς ἄξιος κληρονόμος· διὸ μὴ παύσῃ πρεσβεύων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Τῶν ἐν σοὶ τὰς ἐλπίδας, Παρθένε Ἄχραντε, ἀνενδοιάστως ἐχόντων, σκέπη ὑπάρχουσα, ἐκ ποικίλων πειρασμῶν καὶ περιστάσεων, καὶ κινδύνων χαλεπῶν, ἐλευθέρωσον ἡμᾶς, πρεσβεύουσα τῷ Υἱῷ σου, σὺν τῷ σεπτῷ Γρηγορίῳ, καὶ σῶσον πάντας τοὺς ἀνυμνοῦντάς σε.

## α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου


Ε κ νε ο τη τος μου πολ λα πο λε μει με πα α
θη αλλ αυ τος αν τι λα βου και σω σον Σω τηρ μου (β′)
Ο ι μι σουν τες Σι ων αι σχυν θη τε α πο του Κυ
ρι ου ως χορ τος γαρ πυ ρι ε σε σθε απ ε ξη ραμ
με νοι (β′)
Δ ο ξα Πα τρι και Υι ω και α γι ω
Πνευ μα τι
Α γι ω Πνευ μα τι πα σα ψυ χη ζω ου ου ται
και κα θαρ σει υ ψου ται λαμ πρυ νε ται τη Τρι α
δι κη Μο να α δι ι ε ρο κρυ φι ι ως




## Προκείμενον

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. (β΄)

∴ Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

## Τάξις Ἑωθινοῦ Εὐαγγελίου

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις ἐπαναπαύῃ...

Γρηγορίου Πρωτοψάλτου

Ἦχος Δι

Πανδέκτη
Ὄρθρος 1850 σ.489#









∴ Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.




Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς...

Κύριε, ἐλέησον. (γʹ)

Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. 10:1-9

Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· 1 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ
εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν,
ἐκεῖνος κλέπτης ἐστὶ, καὶ λῃστής. 2 Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν
προβάτων. 3 Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ
ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα, καὶ ἐξάγει αὐτά. 4 Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ,
ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ·
5 ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν
ἀλλοτρίων τὴν φωνήν. 6 Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ
ἔγνωσαν τίνα ἦν, ἃ ἐλάλει αὐτοῖς. 7 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω
ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. 8 Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ
λῃσταί· ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. 9 Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ,
σωθήσεται· καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Δόξα σοι, Κύριε, δόξα σοι.

## Νʹ Ψαλμός

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Γεωργίου Ραιδεστηνοῦ

Ἦχος

Μουσική Συλλογή
Πρωγάκη 1909 σ.150*






Ἦχος … Πα

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.264/2286*




Παναγιώτου Κηλτζανίδου
Δοξαστάριον 1886 σ.407*




Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου...

Ἦχος Δι

Πανδέκτη
Όρθρος 1850 σ.501#






Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Κανόνες

### Κανὼν τῆς Θεοτόκου, ᾠδὴ α᾽

ἦχος β᾽

«Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα, Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.»

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὸν εὐσεβῶς, σὲ Θεοτόκον κυρίως Ἁγνήν, ὁμολογοῦντα Ἄχραντε, ψυχῇ καὶ στόματι, χαλεπῶν ἐκ κινδύνων, καὶ νόσων καὶ πταισμάτων, νῦν με διάσωσον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὅλην ἐν σοί, τῶν χαρισμάτων τὴν ἄβυσσον, ἀποκειμένην ἔγνωμεν· διὸ προσφεύγοντες, Θεοτόκε προθύμως, τῇ σκέπῃ σου τῇ θείᾳ, διασῳζόμεθα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὑπὲρ ἡμῶν, τῶν σὲ ὑμνούντων δυσώπησον, τὸν σαρκωθέντα Πάναγνε, ἐκ τῶν ἀχράντων σου, καὶ τιμίων αἱμάτων, ῥυσθῆναι ἐκ πταισμάτων, καὶ
χαλεπῶν πειρασμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σὲ οἱ πιστοί, καύχημα πάντες κεκτήμεθα, καταφυγὴν καὶ στήριγμα, καὶ ἀγαλλίαμα, καὶ ψυχῶν σωτηρίαν, ἐλπίδα τε καὶ τεῖχος, Θεοχαρίτωτε.

## Κανὼν α´ τοῦ Ἁγίου, ᾠδὴ α´

Ἀνοίξω τὸ στόμα μου — ἦχος δ´

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πλουτήσας θεόπνευστε, πνευματικῶς τὰ μυστήρια, ἠρεύξω Γρηγόριε, δογμάτων λόγια, δι᾽ ὧν γέγονας, ποιμὴν τῆς Ἐκκλησίας, πρὸς μάνδραν οὐράνιον, διαβιβάζων αὐτήν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πρὸς ὕψος ἀνέδραμες, τῶν τῆς Γραφῆς ἀναβάσεων, καὶ ταύτης κατώπτευσας, νοῦ καθαρότητι, τὸ ἀμήχανον, ἀπόρθητόν τε κάλλος, δι᾽ οὗ ἐχρημάτισας, ἱεραρχίας λαμπτήρ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς θείας ἐλλάμψεως, τοῦ νοητοῦ πάτερ ἔτυχες, φωτὸς καὶ κατηύγασας, τὰς διανοίας ἡμῶν, τὰς αἱρέσεις δέ, ὀρθοτόμοις ἀκτῖσι, τεφρώσας κατέφλεξας, διὰ τοῦ Πνεύματος.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ τόκος ἀπείρανδρος, ἐν σοὶ τελεῖται Πανάμωμε, ἐκ σοῦ ὁ ὑπέρθεος, Λόγος προέρχεται, καὶ τηρήσας σε, Παρθένον μετὰ τόκον, Θεός τε καὶ ἄνθρωπος, ὁρᾶται τέλειος.

## Κανὼν β´ τοῦ Ἁγίου, ᾠδὴ α´

Ὑγρὰν διοδεύσας — ἦχος πλ.δ´

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἄνοιξόν μου στόμα θαυματουργέ, καὶ κάθαρον χείλη, καὶ καρδίαν τὴν ῥυπαράν, ὅπως ἐπαξίως ἀνυμνήσω, τῶν σῶν θαυμασίων τὸ πέλαγος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σῶσον ἱεράρχα θαυματουργέ, καὶ δίδου μοι χεῖρα, βοηθείας Πάτερ σοφέ, ὅπως ἐπιτύχω

σωτηρίας, ἐκ τοῦ ἰάματα βρύοντος τάφου σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ σὸς τάφος βρύει ὕδωρ ἀεί, ἰώμενος πάντας, νοσημάτων παντοδαπῶν· διὸ δυσωπῶ σε ἴασόν με, τῆς ἀσθενείας ἧς νῦν ἐκπιέζομαι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὑπάρχεις Παρθένε χριστιανῶν, πάντων ἀσθενούντων, καταφύγιον καὶ λιμήν, τῶν σοὶ προστρεχόντων Θεοτόκε· κἀμοὶ γενοῦ βοηθὸς τῷ ἱκέτῃ σου.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ γ΄

ἦχος β΄

«Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.»

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Πρεσβείαις σου Ἁγνὴ Θεὸν ὃν ἔτεκες, παράσχου εὐΐλατον σοῖς ἱκέταις, τοῖς προστρέχουσι τῇ σκέπῃ σου, καὶ πιστῶς προσκυνοῦσί σου τὴν κύησιν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥημάτων τῆς ἐμῆς ψυχῆς ἐπάκουσον, Παρθένε ἐκ βάθους μου τῆς καρδίας, ἃ προσφέρω σοι Πανύμνητε, καὶ παθῶν καὶ κινδύνων με διάσωσον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὅλην μου τὴν ζωὴν διακυβέρνησον, Παρθένε ἐλπίς μου καὶ προστασία, πειρασμῶν καὶ περιστάσεων, λυτρουμένη δεινῶν με Θεονύμφευτε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον, ἀγκάλαις ὡς φέρουσα Θεομῆτορ, ἐξ ἀγνοίας καὶ πωρώσεως, λυτρωθῆναι ἡμᾶς νῦν καθικέτευε.

## Κανὼν α΄ τοῦ Ἁγίου, ᾠδὴ γ΄

Εὐφραίνεται ἐπὶ σοί

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκηλίδωτον νοῦν, τῇ ἀναλάμψει τῶν σεπτῶν πράξεων, ἔχων ἐδείχθης ἔσοπτρον, ἱεράρχα θείας λαμπρότητος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς χάριτος ἀληθῶς, τῇ ἐπ᾽ ἐλπίδι τελεσθεὶς ὅσιε, ἱερουργὸς γέγονας, τοῦ Εὐαγγελίου τῆς χάριτος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν λόγων σου τὸ τερπνόν, ὑπὲρ κηρίου γλυκασμὸν φέρουσα, ἡ Ἐκκλησία ἔνδοξε, ἐκπτύει πικρίαν αἱρέσεων.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς πύλην σε καὶ ναόν, τῆς θείας δόξης κοινωνὸν σέβοντες, Μῆτερ Θεοῦ πανάμωμε, πάντες τῶν κινδύνων λυτρούμεθα.

## Κανὼν β' τοῦ Ἁγίου, ᾠδὴ γ'

Οὐρανίας ἁψῖδος ἦχος πλ.δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Προγινώσκων τὰ πάντα, ὁ ποιητὴς Κύριος, ἔθετό σε μάκαρ ἐν ὕψει, καὶ καθηγίασε, τὴν ἐκ τοῦ τάφου τοῦ σοῦ, πηγὴν σοφὲ ἱεράρχα, βρύουσαν ἰάματα, τοῖς προσπελάζουσιν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰατρεῖον ὑπάρχει, τάφος ὁ σὸς ὅσιε, καὶ ἀπὸ ποικίλων ἰᾶται νόσων τοὺς κάμνοντας, προσερχομένους αὐτῷ, καὶ ἀνυμνοῦντας ἀπαύστως, τὸν σὲ ἀναδείξαντα, θεῖον ἀκέστορα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἡ τοῦ Πνεύματος χάρις, τῇ Ἱερᾷ δέδωκε, τῇ γεννησαμένῃ σε χώρᾳ, πάτερ Γρηγόριε, δῶρον πολύτιμον, τὸν σὸν σεβάσμιον τάφον, ἀενάως βρύοντα ὕδωρ σωτήριον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Μεσιτεία ὑπάρχεις, χριστιανῶν Ἄχραντε, καὶ τῶν ἐν ἀνάγκαις προστάτης, καὶ καταφύγιον, τῶν προσφευγόντων σοι, Θεοκυῆτορ Παρθένε, Παναγία Δέσποινα, Θεοχαρίτωτε.

Συναπτὴ

| | |
|---|---|
| Ἔτι καὶ ἔτι... | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον... | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου... | Σοί, Κύριε. |
| Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν... | Ἀμήν. |

## Κάθισμα

Τὴν Σοφίαν καὶ Λόγον ἦχος πλ.δ'

Ποταμὸν ἰαμάτων πλήρη σοφέ, καὶ πηγήν σε θαυμάτων ἀνελλιπῆ, ἔδειξε Γρηγόριε, τοῦ ἐλέους ἡ ἄβυσσος· οἱ γὰρ βαρείαις νόσοις, πικρῶς πιεζόμενοι, καὶ συμφοραῖς τοῦ βίου, δεινῶς ἐταζόμενοι, πάσης ἀθυμίας, ἀκεσώδυνον ὄντως, εὑρίσκουσι φάρμακον, τὴν θερμήν σου ἀντίληψιν· διὰ τοῦτο βοῶμέν σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Παρθένε Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, θεράπευσον δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. Οἴμοι! τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; Τότε Δέσποινα, βοήθειά μου γενοῦ, καὶ προστάτης θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ δοῦλός σου Ἄχραντε.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ δ΄

ἦχος β΄

«Ἀκήκοα Κύριε, τὴν ἔνδοξόν σου οἰκονομίαν, καὶ ἐδόξασα φιλάνθρωπε, τὴν ἀκατάληπτόν σου δύναμιν.»

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τῶν τραυμάτων μου Δέσποινα τῶν τῆς ψυχῆς, σαρκός τε νοσημάτων, ἡ Θεὸν τεκοῦσα λύσιν παράσχου μοι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥιπιζόμενον πάθεσι, καὶ λογισμοῖς καὶ βίου τρικυμίαις, ἐλπίδι Παρθένε καὶ πίστει βεβαίωσον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐκ περιστάσεως, ῥῦσαί με Μῆτερ Θεοῦ, καὶ ζάλης καὶ κινδύνων, ταῖς σαῖς ἱκεσίαις μόνη πανύμνητε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Χειμαζόμενον, κλύδωνι βιοτικῷ, ἐξάρπασον Παρθένε, πρὸς τὸν σὸν λιμένα καθοδηγοῦσά με.

## Κανὼν α΄ τοῦ Ἁγίου, ᾠδὴ δ΄

Εἰσακήκοα ὁ Θεός

ἦχος δ΄

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ σαγήνῃ τῆς ἀληθοῦς, ὁμολογίας ζωγρήσας Πάτερ, ὡς ἰχθύας σὺ τῆς ποίμνης σου, ἱερὸν κατάστημα, Θεῷ θυσίαν προσήγαγες.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ διέκοψας κεφαλάς, ὡς ἐν ἐκστάσει αἱρετιζόντων, τὸ τῆς πίστεως κεφάλαιον, Χριστὸν ὁπλισάμενος· διὸ καὶ νίκης στέφος ἀνεπλέχθη σοι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱεράρχης καὶ λειτουργός, τῆς θείας ὤφθης οἰκονομίας, καὶ τῆς δόξης τῶν τοῦ Πνεύματος,

χαρισμάτων γέγονας, μυσταγωγὸς καὶ μύστης πανίερος.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σὲ τεῖχος ἐν πειρασμοῖς καὶ θείαν σκέπην ἐν περιστάσει, Θεονύμφευτε κεκτήμεθα, καὶ λιμένα εὔδιον, καὶ ἀσφαλὲς ψυχῶν ἱλαστήριον.

## Κανὼν β′ τοῦ Ἁγίου, ᾠδὴ δ′

Εἰσακήκοα Κύριε ἦχος πλ.δ′

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπὶ σὲ τὴν ἐλπίδα μου, πᾶσαν ἀνατίθημι ἱερώτατε, τὴν ὑγίειάν μοι νῦν δώρησαι· ἐκ Θεοῦ γὰρ ἔχεις τὰ χαρίσματα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νῦν προστρέχω τῷ τάφῳ σου, πάτερ ἱεράρχα, θεράπων γνήσιε, τοῦ Χριστοῦ παμμάκαρ Ὅσιε, δώρησαί μοι χάριν, ῥῶσιν σώματος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἀδιστάκτως προσέρχομαι, μετὰ προθυμίας καὶ μετὰ πίστεως, τῷ σῷ τάφῳ παμμακάριστε, ὅπως ἐπιτύχω τῆς ἰάσεως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὑμνῳδίας Πανάχραντε, τῶν σοὶ προστρεχόντων, δέχου καὶ σῶσόν με, ἀπὸ πάσης περιστάσεως, καὶ παντὸς κινδύνου τὸν ἱκέτην σου.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ ε′

ἦχος β′

«Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων ποιητὴς Κύριος, ἐν τῷ φωτὶ τῶν σῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς· ἐκτός σου γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.»

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὅπλον ἀήττητον, κατὰ ποικίλων πειρασμῶν ἔχοντες, τῶν δυσμενῶν πάσης ἐπηρείας, λυτρούμεθα σαφῶς, οἱ σὲ Θεοτόκον, ἀεὶ ἐπιστάμενοι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Νόμου τὸ πλήρωμα, ἡ ἀνωτέρα Χερουβὶμ τέτοκας, τὸν τοῦ Θεοῦ ἐκ σοῦ σαρκωθέντα, Υἱὸν μονογενῆ· ὃν ὑπὲρ τῶν δούλων, τῶν σῶν ἐκδυσώπησον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὸν τοῦ παντὸς Ποιητήν, ἐν ταῖς ἀγκάλαις σου Ἁγνὴ φέρουσα, τοῦτον ἡμῖν ταῖς σαῖς ἱκεσίαις, εὐΐλατον δίδου, τοῖς νῦν ἐκ καρδίας, πρὸς σὲ καταφεύγουσιν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀπὸ στενώσεως, καὶ κατωδύνου μου ψυχῆς δέησιν, τῶν οἰκτιρμῶν μόνη τῇ τεκούσῃ, τὸν

αἴτιον Λόγον, προσφέρω ὁ τάλας, οἰκτείρασα σῶσόν με·

## Κανὼν α' τοῦ Ἁγίου, ᾠδὴ ε'

Σὺ Κύριέ μου φῶς ἦχος δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ θεῖος ποταμός, ἐγνωρίσθης τῇ ποίμνῃ σου, τὴν ἄρουραν καταρδεύων, τῶν ψυχῶν ἱεράρχα, τοῖς θείοις σου χαρίσμασιν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐξέλαμψας ἡμῖν, τῶν σῶν λόγων λαμπρότητα· σκεδάσας δὲ τὴν ὁμίχλην, τῶν ἀθέων δογμάτων, ἀστὴρ ὤφθης ἀνέσπερος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Χεῖρας αἷς πρὸς Θεόν, ἱκεσίαις μοι ἔκτεινον, ἐν θλίψεσι βοηθείας, ἐκ δεινῶν δυσχερείας, Γρηγόριε θεράπον Χριστοῦ.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σὲ ὅπλον ἀῤῥαγές, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

## Κανὼν β' τοῦ Ἁγίου, ᾠδὴ ε'

Ἵνα τί με ἀπώσω ἦχος πλ.δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μιμητὴς τοῦ Δεσπότου, γέγονας Γρηγόριε ἀειμακάριστε· καὶ γὰρ τούτου πάτερ, τοῖς ἴχνεσιν ἠκολούθησας· ὅθεν ἠξίωσαι, τοῦ θεραπεύειν τὰς νόσους, καὶ διώκειν πνεύματα, τῇ τούτου χάριτι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ τῶν σῶν ἀνεφίκτων, καὶ τῶν ἀμετρήτων σου κριμάτων Κύριε! ὅτι τοὺς γηΐνους, οὐρανίους εἰργάσω τοῖς θαύμασι, καὶ τῶν ἰαμάτων, πλουσίαν χάριν ἐδωρήσω, τοῦ ἰᾶσθαι παντοῖα νοσήματα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὕδωρ βρύει σὸς τάφος, καὶ οἱ ἀρυόμενοι ἀπολυτροῦνται πιστῶς, ἐκ παντοίων νόσων, καὶ δεινῶν ἀλγηδόνων καὶ θλίψεων· ὅθεν ἐτησίως, τὴν σὴν σεπτὴν ἐπιτελοῦσι, παμμακάριστε Πάτερ πανήγυριν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Γηγενῶν προστασία, καὶ καταφυγὴ καὶ βοήθεια Πάναγνε, Θεοτόκε Μήτηρ, τοῦ Θεοῦ χρηματίσασα πρέσβευε, τὸν ἐκ σοῦ τεχθέντα, λύσιν σφαλμάτων μοι δοθῆναι, καὶ πταισμάτων ἀμέτρων συγχώρησιν.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ ς'

ἦχος β'

«Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.»

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σωτηρίας λιμένα γινώσκων σε, πλέων πολυφρόντιδος βίου τὴν θάλασσαν, ἐπικαλοῦμαι Δέσποινα, κυβερνήτην ψυχῆς μου γενέσθαι σε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐνεδύθην στολὴν κακουχούμενος, Μῆτερ ἀειπάρθενε, τῆς ἀφροσύνης μου, ἀλλ' ἡ Θεὸν κυήσασα, τῆς χαρᾶς τὸν χιτῶνα ἀντίδος μοι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἱερᾶς πολιτείας ἐκπέπτωκα, ἀθυμῶν ὁ δείλαιος ἀλλ' ἐπανάγαγε, εὐλογημένη Δέσποινα, προσταγαῖς τοῦ Υἱοῦ σου ῥυθμίζουσα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Συμπαθείας με θείας ἀξίωσον, ἡ τὸν συμπαθέστατον Λόγον κυήσασα, τὸν τῷ ἰδίῳ αἵματι, ἐκ φθορᾶς τοὺς ἀνθρώπους ῥυσάμενον.

## Κανὼν α' τοῦ Ἁγίου, ᾠδὴ ς'

Ἐβόησε προτυπῶν

ἦχος δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν ἄβυσσον, τῶν γραπτῶν νοημάτων ἐξήντλησας, καὶ τὸν πλοῦτον, τῶν ἐνθέων δογμάτων ἐπλούτησας, καὶ ἐξήρανας, ποταμοὺς ἱεράρχα αἱρέσεων.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ τραπέζῃ, τοῦ Δεσπότου Χριστοῦ παριστάμενος, καὶ τῆς θείας, εὐωχίας αὐτοῦ ἀξιούμενος, ἐκτενῶς μὴ παύσῃ, ἱλασμὸν ἐξαιτῶν ταῖς ψυχαῖς ἡμῶν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν μάχαιραν, τῷ τοῦ Πνεύματος λόγῳ σπασάμενος, τῶν ἀθέων, νοημάτων καθεῖλες τὰ ἔκφυλα, καὶ ἐῤῥίζωσας, θεοφόρε πιστῶν τὰ νοήματα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τῷ τόκῳ σου, τῆς ἀρχαίας ἀρᾶς ἀπηλλάγημεν· τὴν χαρὰν γάρ, ἐν γαστρί σου Παρθένε συνέλαβες, καὶ Θεὸν τεκοῦσα, τῶν ἀνθρώπων τὴν φύσιν
ἐθέωσας.

## Κανὼν β' τοῦ Ἁγίου, ᾠδὴ ς'

Ἰλάσθητί μοι Σωτήρ ἦχος πλ.δ´

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ πρόεδρος μὲν Ἄσσου, τῆς Ἱερᾶς δὲ τὸ καύχημα, ἐξέλαμψεν ἀληθῶς, ἐφώς ὡς ἥλιος, καὶ πάντας ἐφαίδρυνε, ταῖς φαεινοτάταις, ἀστραπαῖς
τῶν διδαγμάτων αὐτοῦ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν Ἱερᾷ μὲν ὁ σός, τάφος πηγάζει ἰάματα, τοῖς προσιοῦσιν αὐτῷ, ἀεὶ μετὰ πίστεως, παμμάκαρ Γρηγόριε, πνεῦμα δέ σου θεῖον, ἐν οὐρανοῖς νῦν αὐλίζεται.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐπιτελοῦσι πιστῶς, τὴν πάνσεπτόν σου πανήγυριν, παράσχου πάτερ σοφέ, ἡμῖν τῶν ἰάσεων, τὴν χάριν τὴν ἄφθονον, παῤῥησίαν ἔχων, πρὸς τὸν Κύριον δεόμεθα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὡς ἔμψυχος κιβωτός, τὸν Νομοδότην ἐχώρησας, ὡς ἅγιος δὲ ναός, ἐδέξω τὸν Ἅγιον, γενόμενον ἄνθρωπον, ἐπ᾽ εὐεργεσίᾳ, τῶν ἀνθρώπων Ἀειπάρθενε.

Συναπτὴ

Ἔτι καὶ ἔτι... Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον... Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου... Σοί, Κύριε.
Σὺ γὰρ εἶ ὁ βασιλεὺς... Ἀμήν.

## Κοντάκιον

Τὰ ἄνω ζητῶν ἦχος β´

Θεόθεν λαβών, τὴν δύναμιν ὅσιε, τῇ σῇ προσευχῇ, τοὺς δαίμονας ἀπήλασας, καὶ νόσους τῶν ἀνθρώπων θεραπεύεις, ἀξιάγαστε Γρηγόριε· θαυματουργὸς δὲ ἐπωνόμασαι, **τὴν κλῆσιν ἐκ τῶν ἔργων κομισάμενος.**

## Ὁ Οἶκος

Πόθεν ἀπάρξωμαι, τοὺς ἀγῶνας ἐξυφαίνειν ὁ τάλας, καθορῶν τὰ πολλά, καὶ ὑπερθαύμαστα πράγματα; Ἐὰν ἀπὸ τοῦ βίου τοῦ ὁσίου ἐγχειρήσω, τὸ σύνολον οὐκ ἰσχύω· πάντα γὰρ νοῦν ὑπερβαίνει ὁ ἔνθεος βίος αὐτοῦ· ἐὰν ἀπὸ τῶν θαυμάτων, καὶ ἐν τούτῳ λοιπὸν αἰσχυνθήσομαι, ὑπὲρ τὴν ψάμμον ὑπάρχοντα· διὰ τοῦτο ἀκούει θαυματουργός, **τὴν κλῆσιν ἐκ τῶν ἔργων κομισάμενος.**

## Συναξάριον

Τῇ Ι´ τοῦ μηνὸς Ἰουλίου, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου Ἄσσου,

τοῦ θαυματουργοῦ.

Ὁ Γρηγόριος θαυματουργῶν καὶ πάλαι,
Θεῷ παραστάς, θαυματουργεῖ νῦν πλέον.
Δεκάτῃ Ἰουλίου, μέγας θάνε θαυματουργός.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων Τεσσαράκοντα Πέντε μαρτύρων τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας μαρτυρησάντων.

Παρεμβολή τις εὑρέθη Θεῷ νέα,
Τόλμῃ παρεμβάλλουσα καὶ πυρὸς μέσον.
Κτεῖνεν ἐρισθενέας δεκάτῃ πῦρ Νικοπολίτας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Βιάνορος καὶ Σιλουανοῦ.

Οὐκ ἠδυνήθη σὴν ἑλεῖν στεῤῥὰν φύσιν,
Μάρτυς Βιάνωρ, οὐδὲ τοῦ ξίφους βία.
Ὤφθη παταχθεὶς Σιλουανὸς τῷ ξίφει,
Ἄλλος Σιλωὰμ ἐξιώμενος πάθη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Ἀπολλωνίου, τοῦ ἐκ Σάρδεων.

Ἀπολλωνίῳ σταυρὸς ἡ τιμωρία,
Εἰπεῖν δ' ἀληθῶς, σταυρὸς ἡ σωτηρία.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων Μυρίων Πατέρων, οὓς διὰ πυρὸς θανάτῳ βιαίῳ παρέδωκε Θεόφιλος ὁ ἐπίσκοπος Ἀλεξανδρείας, διὰ Ἰσίδωρον τὸν Πρεσβύτερον.

Ἔκτεινεν εἰς σπήλαια πῦρ τοὺς Μυρίους,
Σπήλαιον οἰκήσαντος οἰκέτας Λόγου.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Σύναξις τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἐν τοῖς Βεάτου (ἐν ἄλλ. Βιάτου ἢ Βιώτου).

Ὁ βροντῆς γόνος αὖθις ἤχησε μέγα,
Ἐν τοῖς Βεάτου τὸν αὐτοῦ δόμον στήσας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Παρθενίου καὶ Εὐμενίου τῶν αὐταδέλφων, τῶν ἐν τῇ μονῇ τῆς Ὑπεραγίας Θεοτόκου τοῦ Κουδουμᾶ ἀσκησάντων.

Τῶν αὐταδέλφων ἡ δυὰς τῇ ἀσκήσει,
Ἤσχυνε πάγας τοῦ ἀρχαίου βελίαρ.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ ζ'

ἦχος β'

«Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεειρᾶ λατρευομένης, οἱ τρεῖς σου Παῖδες κατεφρόνησαν, ἀθεωτάτου προστάγματος· μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σταυρῷ προσπαγείς, ὁ ἐκ σοῦ σωματωθεὶς Θεογενῆτορ, Ἀδὰμ διέῤῥηξε τὸ χειρόγραφον· ὃν νῦν Παρθένε δυσώπησον, πάσης πονηρίας ῥυσθῆναι, τοὺς ἐν πίστει κραυγάζοντας· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐλπὶς ἀγαθή, προστασία φοβερὰ ὑπάρχεις Δέσποινα, καὶ νῦν δεόμεθά σου δωρήσασθαι, τῆς συμπαθείας τὸ πέλαγος, πᾶσι τοῖς εἰς σὲ πεποιθόσι, καὶ τῷ Υἱῷ σου κραυγάζουσιν. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σκοτίᾳ δεινῇ, τῇ τοῦ βίου συσχεθεὶς τὸν συλλυπούμενον, καὶ συναλγοῦντα οὐ κατέλαβον, τῇ σῇ Παρθένε λαμπρότητι, λῦσον τὴν ἀχλὺν τῶν πταισμάτων, καὶ καταύγασον ψάλλοντα· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡραίαν στολήν, σωτηρίων ἐντολῶν διὰ βαπτίσματος, ἀμφιασάμενος ἀπημαύρωσα, δι' ἀμελείας ὁ δείλαιος· νῦν δὲ σοὶ προστρέχω Παρθένε, τὸν χιτῶνα αἰτούμενος, τῆς σωφροσύνης διὰ σοῦ, πάλιν ἐνδύσασθαι.

## Κανὼν α' τοῦ Ἁγίου, ᾠδὴ ζ'

Ὁ διασώσας ἐν πυρί — ἦχος δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς τῆς σοφίας ἐραστής, ἔρωτι ἀσχέτῳ συνήφθης, τῇ ἀγαπήσει τοῦ Χριστοῦ, ἱεράρχα· διὸ καὶ ἐκραύγαζες· Ὑπερύμνητε Κύριε, ὁ Θεός, ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν τῇ τῆς πίστεως στεῤῥᾷ, ἔστησας τοὺς πόδας σου πέτρᾳ, καὶ τρικυμίαις πειρασμῶν, ἀκατάσειστος ὤφθης καὶ ἔψαλλες· Ὑπερύμνητε Κύριε, ὁ Θεός, ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ποίμνης κατάρχων λογικῆς, ἔθρεψας αὐτὴν ἐν τῇ χλόῃ, τῶν ἀθανάτων διδαχῶν, καὶ πιστῶς σὺν αὐτῇ ἀνεκραύγαζες· Ὑπερύμνητε Κύριε, ὁ Θεός, ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐλπὶς καὶ σκέπη καὶ λιμήν, καὶ ἀκαταμάχητον τεῖχος, καὶ προστασία ἀσφαλής, τοῖς κραυγάζουσιν ὤφθης Πανάμωμε· Ὑπερύμνητε Κύριε, ὁ Θεός, ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

## Κανὼν β' τοῦ Ἁγίου, ᾠδὴ ζ'

Παῖδες Ἑβραίων — ἦχος πλ.δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴθυνον μάκαρ ταῖς εὐχαῖς σου, καὶ ὁδήγησον πρὸς τρίβους σωτηρίας, καὶ πρὸς θείαν ζωήν, προσάγαγε θεόφρον, ὅπως ἡμεῖς σῳζόμενοι, εὐχαρίστως σε ὑμνῶμεν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βρύοντος ὕδωρ τοῦ σοῦ τάφου, ἐξ οὗ οἱ πιστοὶ ἀντλούμενοι ἰῶνται, καὶ ἐκ νόσων δεινῶν, καὶ βλάβης καὶ κινδύνων, καὶ πειρασμῶν καὶ θλίψεων, ἀσινεῖς διατηροῦνται.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὅλως Θεῷ καθιερώθης, παμμακάριστε θεόφρον ἱεράρχα· πόθῳ γὰρ αὐτοῦ, τὰς ἀρετὰς ἁπάσας, ἐπιμελῶς κατωρθωκώς, μετ᾽ ἀγγέλων συγχορεύεις.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Νῦν σοι προστρέχω Θεοτόκε, Παναμώμητε πανύμνητε Παρθένε, καὶ γενοῦ βοηθός, ἵνα ῥυσθῶ κινδύνων, καὶ συμφορῶν καὶ θλίψεων, καὶ παντοίας
ἄλλης βλάβης.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ η´

ἦχος β´

«Τὸν ἐν καμίνῳ τοῦ πυρός, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρό» σον, μεταβαλόντα Θεόν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.»

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐξασθενεῖ μου νῦν ὁ νοῦς, εἰς τὰ βάθη ἐμπεσὼν τῆς ἀτιμίας, ὡς ἐντεῦθεν ποικίλοις, περιπαρῆναι κακοῖς· ἀλλὰ σύ με Παρθένε θεράπευσον, τῷ τῆς ἀπαθείας, φωτὶ περιβαλοῦσα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Πύργον ἰσχύος ἀσφαλῆ, καὶ κρηπῖδα καὶ φρουρὰν καὶ προστασίαν, κεκτημένοι σε πάντες, διασῳζόμεθα νῦν, ὑμνοῦντες τὸν τόκον σου Πάναγνε, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀθανασίας διαυγῆ, ἐπιστάμεθα πηγήν σε Θεοτόκε, ὡς τεκοῦσαν τὸν Λόγον, τοῦ ἀθανάτου Πατρός, τὸν πάντας θανάτου λυτρούμενον, τοὺς ὑπερυψοῦντας, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ῥεῖθρον ἰάσεων ἡμῖν, ἀενάως, τοῖς πιστοῖς Ἁγνὴ πηγάζεις, οὗ τὴν ἄφθονον χάριν, ἀπαρρυόμενοι σοῦ, ὑμνοῦμεν τὸν τόκον Πανάχραντε, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

## Κανὼν α´ τοῦ Ἁγίου, ᾠδὴ η´

Λυτρωτὰ τοῦ παντός ἦχος δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῷ ἐλαίῳ χρισθεὶς τῷ τοῦ Πνεύματος, ἱεράρχης Θεοῦ ἀναδέδειξαι, ὡς Ἀαρὼν Γρηγόριε, καὶ ἐδίδασκες κράζειν· Πάντα τὰ ἔργα, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπροσίτῳ φωτὶ ἀστραπτόμενος, τὴν τῆς πλάνης ἀχλὺν ἀπεμείωσας· κἀμοῦ τὸν ζόφον σκέδασον, τῶν παθῶν Ἱεράρχα, ταῖς σαῖς πρεσβείαις, ἵνα χαίρων δοξάζω τὴν μνήμην σου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν ἱεράν σου στολὴν τῷ τοῦ λόγου τερπνῷ, θεοφάντορ πιστῶς κατεκόσμησας, καὶ δι' ἀμφοῖν ἐξέλαμψας, ἐκδιδάσκων κραυγάζειν· Πάντα τὰ ἔργα, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς ἐκ ζάλης παθῶν κυματούμενοι, τῷ λιμένι τῷ σῷ καταφεύγομεν, Θεοκυῆτορ Ἄνασσα, καὶ βοῶμεν ἀπαύστως· Πάντα τὰ ἔργα, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

## Κανὼν β' τοῦ Ἁγίου, ᾠδὴ η'

Ἑπταπλασίως κάμινον ἦχος πλ.δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὥσπερ ἀστέρα λάμποντα, ἐν Ἐφέσῳ μακάριε, σὲ ὁ προεδρεύων, ἐν αὐτῇ θεώμενος, τοῖς ἔργοις κοσμούμενον, καὶ ἀρεταῖς ἀνέδειξε, θεῖον ἱεράρχην, τῆς Ἄσσου θεοφόρε, Θεῷ ἀναβοῶντα· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπὶ τὸ ὄρος ὅσιε, τὸ τοῦ Πρίαντος ἔδραμες, καὶ τὰς τῶν δαιμόνων, προσβολὰς μακάριε, ἀπράκτους ἐτέλεσας, καὶ παντελῶς ἐξέβαλες, τούτους ἐκ τοῦ τόπου, οὗ κατῴκησας πάτερ, βοῶν ἀδιαλείπτως· Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Χώραν τὴν σὴν κατέλιπες, ἱεράρχα Γρηγόριε, πρὸς Θεὸν δὲ ὅλως, σὲ αὐτὸν προσήλωσας· ποθῶν δὲ θεάσασθαι, Χριστοῦ τὸν τάφον ἔπλευσας, ὃν καὶ προσκυνήσας, εὐσεβῶς ἐπανῆλθες, κραυγάζων τὸν Σωτῆρα, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ξενοπρεπῶς Πανάμωμε, τὴν ἁγίαν εἰκόνα σου, σέβοντες τιμῶμεν, Θεοτόκε Δέσποινα, καὶ πόθῳ προστρέχομεν, καὶ προσκυνοῦμεν ἅπαντες, σὺν τῷ θεηγόρῳ, καὶ σεπτῷ Γρηγορίῳ, καὶ πίστει μελῳδοῦμεν· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ θ´

ἦχος β´

«Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀρρήτῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀδάμ, βρώσει φθορᾷ πεπτωκότα δεινῶς, ἐξ ἁγίας Παρθένου, ἀφρά» στως σαρκωθέντα δι᾽ ἡμᾶς, οἱ πιστοὶ ὁμοφρόνως, ἐν ὕμνοις μεγαλύνωμεν.»

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Θεομακάριστε Κόρη, τὴν ἐλπίδα μου πᾶσαν, προθύμως ἀνατίθημι ἐν σοί· σῶσόν με Μήτηρ τῆς ὄντως ζωῆς, καὶ τρυφῆς ἀϊδίου, πλησθῆναι καθικέτευσον Ἁγνή, τὸν ἐν πίστει καὶ πόθῳ, σὲ ὕμνοις μεγαλύνοντα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐπιφανεῖσα Παρθένε, τῆς ψυχῆς μου τὸν ζόφον, φωτός σου ταῖς ἀΰλοις ἀστραπαῖς, αὔγασον πύλη τοῦ θείου φωτός, καὶ τρυφῆς αἰωνίου, πλησθῆναι καταξίωσον Ἁγνή, τὸν ἐν πίστει καὶ πόθῳ, σὲ ὕμνοις μεγαλύνοντα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Νενοσηκότας ὁρῶσα, καὶ ψυχὴν καὶ τὸ σῶμα, καὶ βεβλημένους πάθεσι δεινοῖς, τῇ εὐσπλαγχνίᾳ σου Δέσποινα, θεραπεύσασα λῦσον, τῶν νῦν παρενοχλούντων λυπηρῶν, ἵνα πάντες σε ὕμνοις, ἀπαύστως μεγαλύνωμεν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐν τῇ γαστρί σου σκηνώσας, ἐκ γαστρὸς πρὸ αἰώνων, Πατὴρ ὅνπερ ἐγέννησεν Υἱόν, τέλειος γέγονεν ἄνθρωπος, καὶ πηγὴν χαρισμάτων, σὲ Θεομῆτορ ἔδειξεν ἡμῖν, τοῖς πιστῶς προσκυνοῦσι, τὴν ἄφραστόν σου γέννησιν.

## Κανὼν α´ τοῦ Ἁγίου, ᾠδὴ θ´

Ἐποίησε κράτος

ἦχος δ´

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ εὔσημός σου γλῶσσα, ὥσπερ σάλπιγξ εὔηχος, φωνοῦσα τὸ τοῦ Λόγου μυστικόν, διεγείρει τοὺς πιστούς, καὶ καθοπλίζει θεουργῶς, πρὸς ἀοράτους ἐχθρούς.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸ ἔνδυμα τὸ θεῖον, στολισάμενος μυστικῶς, εἰσῆλθες εἰς τὴν ἄνω νυμφικῶς, εὐωχίαν καὶ χαράν, καὶ ἀνεκλίθης σὺν Χριστῷ, πάτερ Γρηγόριε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀγάλλεται συμφώνως καὶ σκιρτᾷ πατέρων χορός, εὐφραίνεται ὁμήγυρις πιστῶν, καὶ χορεύει μυστικῶς, ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἐπὶ τῇ μνήμῃ σου.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὴν τιμῶσάν σε πόλιν, ἡ τεκοῦσα τὸν τοῦ Θεοῦ ἀμνόν, καὶ ἀρχιποίμενα Χριστόν, ἐκ κινδύνων καὶ φθορᾶς, καὶ ἁμαρτίας παθῶν, λύτρωσαι Δέσποινα.

## Κανὼν β′ τοῦ Ἁγίου, ᾠδὴ θ′

Ἐξέστη ἐπὶ τούτῳ — ἦχος πλ.δ′

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνῆλθες ἐν τῷ ὄρει πάτερ σοφέ, τῶν δαιμόνων διώξας τὰς φάλαγγας, καὶ τὸν ναόν, ἤγειρας ἐκ βάθρων μετὰ σπουδῆς, καὶ τὰς εὐχὰς ἀνέπεμπες, νύκτωρ μεθ’ ἡμέραν τε πρὸς Θεόν· αὐτὸς γάρ σοι δωρεῖται, τὰς θείας ἀντιδόσεις, καὶ βρύει ὕδωρ ἐκ τοῦ τάφου σου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βρύει ὁ σὸς τάφος διὰ παντὸς καὶ προχέει ἀείῤῥυτα νάματα, ἐπιτελῶν, θαύματα ἐξαίσια ἐπὶ γῆς· ὅθεν αὐτῷ προστρέχομεν, πόθῳ ἐκτελοῦντές σου τὴν σεπτήν, πανήγυριν παμμάκαρ, καὶ Κύριον ὑμνοῦμεν, τὸν σὲ μεγάλως θαυμαστώσαντα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ πάντων κυβερνήτης καὶ κηδεμών, ἐξελέξατό σε μακάριε, καὶ ἰατρόν, δέδωκε τοῖς πᾶσι καὶ βοηθόν· ὅθεν οἱ προσερχόμενοι, πίστει ἀδιστάκτῳ τάφῳ τῷ σῷ, ἰῶνται θαυμασίως, παντοίων ἀλγηδόνων, καὶ πάσης βλάβης καὶ κακώσεως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὁράθης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν Λόγον, ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

## Καταβασίαι εἰς ἑορτὰς τῆς Θεοτόκου

22/9-6/11

10/2 – μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου

Ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων Πατέρων μέχρι τῆς 26ης Ἰουλίου

ἦχος δ′

α Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

γ Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

δ **Τ**ὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.

ε **Ἐ**ξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ς **Τ**ὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

ζ **Ο**ὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλὴν· ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

**Α**ἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

η **Π**αίδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ α΄

## Ἦχος Βου

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.330#




ᾠδὴ γ΄


Τους σου ους υ μνο λο γους Θε ο το ο κε η
ζω ω σα και α φθο νος πη γη θι α σον συγ κρο τη σαν
τας πνευ μα τι κον στε ρε ω ω σον και εν τη θει α
δο ξησου χορὸς α΄ στε φα νων δο ξης α ξι ω σον
ᾠδὴ δ΄
Την α νε ξι χνι α στον θει αν βου λην της εκ
της Παρ θε ε νου σαρ κω σε ως σου του υ ψι στου
ο προ φη της Αβ βα κουμ κα τα νο ων ε κραυ
γα ζε δο ξα τη δυ να μει σου Κυ ρι ε
←ειρμολόγιον ΖΩΗΣ
ᾠδὴ ε΄
Ε ξε στη τα συμ παν τα ε πι τη θει α δο
ξη σου συ υ γα αρ α πει ρο γα με Παρ θε ε νε ε


σχες εν μη η τρα τον ε πι πα αν των Θε ον και τε
ε το κας α χρο νον Υι ον πα σι τοις υ μνου σι σε σω τη
ρι ι αν βρα βευ ον τα
ᾠδὴ ϛʹ
Την θει αν ταυ την και παν τι μον τε λουν τες ε ορ την
οι θε ο φρο νες της Θε ο μη το ρος δευ τε τας χει ρας κρο
τη σω μεν τον εξ αυ της τε χθε εν τα Θε ον δο ξα ζον
τες
ᾠδὴ ζʹ
Ουχ ε λα α τρε ευ σαν τη κτι σει οι θε ο φρο νες πα
ρα τον κτι σα αν τα αλ λα πυ ρος α πει λην αν
δρει ως πα τη σαν τες χαι ρον τες ε ψαλ λον υ περ υ μνη


η τε ο των πα τε ρων Κυ ρι ος και Θε ος ευ λο γη το
ος ει
ᾠδὴ η´
Αι νου μεν ευ λο γου μεν και προσ κυ νου ου μεν
τον Κυ ρι ον
Παι αι δας ευ α γεις εν τη κα μι ι νω ο
το ο κος της Θε ο το κου δι ε σω σα το ο το τε
μεν τυ που με νος νυν δε εν ερ γου με ε νος την οι
κου με νην α πα σαν α γει ρει ψα αλ λου ου σαν τον
Κυ ρι ο ον υ υ μνει τε τα ερ γα και υ περ υ ψου ου
τε εις παν τας τους αι ω ω να α α α ας

Τιμιωτέρα

∴ Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. 46-47

∴ Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. 48

∴ Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. 49-50

∴ Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. 51

∴ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. 52-53

∴ Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. 54-55

Πέτρου Λαμπαδαρίου

Ἦχος Βου

Πανδέκτη
Όρθρος 1850 σ.502#




Καταβασία θ´ ᾠδῆς

ἦχος δ´

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

ᾠδὴ θ΄

## Ἦχος Βου

Ἰωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.330#




Συναπτή

Ἔτι καὶ ἔτι... Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον... Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου... Σοί, Κύριε.
Ὅτι σὲ αἰνοῦσι... Ἀμήν.

## Ἐξαποστειλάριον

Τῶν Μαθητῶν ὁρώντων σε

ἦχος β΄

Τῆς Ἄσσου τὸν πανσέβαστον ἱεράρχην, τὸν μέγαν ἐν τοῖς θαύμασι γεγονότα, θείαις μελῳδίαις εὐφημήσωμεν, Γρηγόριον φιλέορτοι, ὅπως ταῖς τούτου πρεσβείαις, λάβωμεν λύσιν πταισμάτων.

Ὁ οὐρανὸν τοῖς ἄστροις ἦχος γ΄

Τοῦ Γρηγορίου τὴν μνήμην, δεῦτε τελέσωμεν πιστοί, καὶ τὴν σορὸν τῶν λειψάνων, κατασπασώμεθα αὐτοῦ, ἵνα ἐκ ταύτης πλουσίως, λάβωμεν ἄφθονον χάριν.

Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

## Αἶνοι

### Ἦχος Πα

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.193#






## Στιχολογία

### ψαλμὸς ρμη΄ 148

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

### ψαλμὸς ρμθ΄ 149

ᾌσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ψαλμὸς ρν΄ 150

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

## Στιχηρὰ Προσόμοια

Ἔδωκας σημείωσιν

ἦχος δ΄

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἡλίου φαιδρότερον, λελαμπρυσμένη ἡ μνήμη σου, ἐν τῇ Ἄσσῳ ἀνέτειλε, τὴν κτίσιν φωτίζουσα, θείαις φρυκτωρίαις, Γρηγόριε μάκαρ, καὶ παθημάτων τὴν ἀχλύν, καὶ τῶν δαιμόνων σκότος διώκουσα· διό σε μακαρίζομεν, καὶ ἐτησίως γεραίρομεν, τὴν ἁγίαν σου κοίμησιν, τὸν Σωτῆρα δοξάζοντες.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Βέλει τῷ τῶν λόγων σου, παρανομούντων συστήματα, παμμακάριστε ἔτρωσας· φωνὴν ὅθεν ἔδωκαν, οὐρανῶν νεφέλαι, χοροὶ Ἀσωμάτων, συνεπεκρότησαν χαρᾷ, τῶν σῶν ἀγώνων τὴν καρτερότητα· διὸ ἐπαγαλλόμενοι, σὲ ἐπαξίως γεραίρομεν, καὶ συμφώνως δοξάζομεν, τὴν ἁγίαν σου κοίμησιν.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Σοφῶς ἀντικτώμενος, τῶν ἐπὶ γῆς τὰ οὐράνια καὶ ῥεόντων τὰ ἄῤῥευστα, φθαρτῶν τε τὴν ἄφθαρτον, ἀντηλλάξω δόξαν, ἐξορίαις χαίρων, καὶ πολυτρόποις πειρασμοῖς, τοῦ Θεοῦ μάκαρ σὲ ἐνισχύοντος· διὸ καὶ δυσωποῦμέν σε, ἱερομύστα Γρηγόριε, ὑπὲρ πάντων ἱκέτευε, τῶν πιστῶς εὐφημούντων σε.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δῶρον ἀξιέραστον, τῇ Ἱερᾷ σε παρέσχετο, Ἰησοῦς ὁ φιλάνθρωπος, αὐτὸν ἀγαπήσαντα, ἐκ ψυχῆς παμμάκαρ· ὅθεν δυσωπεῖ σε, ὑπὲρ αὐτῆς ἐκλιπαρῶν, μὴ διαλίπῃς ἀεὶ τὸν Κύριον, παντοίων ἐκλυτρώσασθαι, πειρατηρίων καὶ θλίψεων, ἱεράρχα Γρηγόριε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

## Δοξαστικὸν

ἦχος πλ. δ'

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Δι' ἐγκρατείας τὸν νοῦν καθαρθείς, καταγώγιον ἐγένου, τοῦ Πνεύματος τοῦ Παναγίου, ἐξ οὗ καὶ χάριν εἴληφας, ἀπελαύνειν δαίμονας, καὶ νόσους παντοίας, τῶν ἀνθρώπων θεραπεύειν· διὸ παμμάκαρ Γρηγόριε, πρόεδρε Ἄσσου καὶ τῆς Λέσβου τὸ καύχημα, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ πάντων τῶν τὴν μνήμην σου τελούντων πιστῶς, τὸν μόνον φιλάνθρωπον, λυτρωθῆναι πάσης ὀργῆς.

Ἰωάννου Ἀρβανίτη

**Ἦχος λ π Νη**

Μουσικὸν Λειμωνάριον
Ι.Μ.Μυτιλήνης, Ερεσοῦ & Πλωμαρίου
σ.68*




πε λα αυ νειν δαι αι αι αι αι αι αι αι μο
νας και νο ο ο σους παν τοι οι οι ας των α αν
θρω ω πων θε ρα α α πε ε ε ευ ειν δι ο
ο ο ο ο ο ο ο παμ μα χα αρ Γρη η γο ρι ι
ε προ ο ο ε ε δρε ε ε Α α α α ασ σου και
της Λε ε ε ε σβου το χα α αυ χη η η η μα
μη πα α α α α αυ ση η πρε ε σβε ε ε ε
ε ε ε ε ευ ω ων υ περ ει ρη η νης
του ου ου χο ο σμου ου και των φι λο ο χρι ι ι
στων α α α να α α α χτων και παν των των τη




## Θεοτοκίον

ἦχος πλ. δ'

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Κωνσταντίνου Παπαγιάννη

## Ἦχος λ π Νη

πρω.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.96/1136*






## Δοξολογία

Μανουὴλ Πρωτοψάλτου

### Ἦχος Νη

Αναστασιματάριον
Ἰωάννου Πρωτοψάλτου
1905 σ.426*




νου μεν σε δο ξο λο γου μεν σε ευ χα ρι στου μεν
σοι δι α την με γα α λην σου δο ξαν
Κ υ ρι ε βα σι λευ ε που ρα νι ε Θε ε Πα τερ
Παν το κρα α τορ Κυ ρι ε Υι ε μο νο γε νες Ι η
σου Χρι στε και α γι ον Πνευ μα
Κ υ ρι ε ο Θε ος ο α μνος του Θε ου ο Υι
ος του Πα τρος ο αι αι ρων την α μαρ τι ι αν
του κο ο σμου ε λε η σον η μας ο αι αι ρων τας α μαρ
τι ι ας του κο σμου
Π ρος δε ξαι την δε η σιν η μων ο κα θη με νος εκ


δε ξι ω ων του Πα τρος και ε λε η σον η μας
Ο τι συ ει μο νος α γι ος συ ει ει μο νος
Κυ ρι ος Ι η σους Χρι στος εις δο ο ξαν Θε ου Πα
τρος α μη ην
Καθ ε κα α στην η με ραν ευ λο γη σω σε
και αι νε ε σω το ο νο μα α σου εις τον αι ω ω
να και εις τον αι ω να του αι ω νος
Κα τα ξι ω σον Κυ ρι ε εν τη η με ρα
τα αυ τη α να μαρ τη τους φυ λα χθη ναι η μα ας
Ευ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα


τε ε ρων η μων και αι νε τον και δε δο ξα σμε ε
νον το ο νο μα α σου εις τους αι ω νας α μη ην
Γ ε ε ε νοι το Κυ ρι ε το ε λε ος σου εφ η μας
καθ α περ ηλ πι σα α μεν ε πι σε ε
Є υ λο γη το ος ει ει Κυ ρι ι ι ε δι δα ξον με
τα δι και ω μα τα σου (γ΄)
Κ υ ρι ε κα τα φυ γη ε γε νη η θης η μιν εν γε
νε α και γε νε α ε γω ει πα Κυ ρι ι ε ε
λε η σο ον με ι α σαι την ψυ χη ην μου ο τι η
μαρ τον σοι


Κ υ ρι ε προς σε κα τε ε φυ γον δι δα ξο ο ον με
του ποι ειν το θε λη μα α σου ο τι συ ει ο
Θε ο ος μου
Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι
σου ο ψο με θα φω ως
Π α ρα τει ει ει νον το ε λε ο ος σου τοις γι νω
σκου σι σε
Α α γι ος ο Θε ος α α γι ος ι σχυ ρος α γι ος
α θα να τος ε λε η σον η μα ας (γʹ)
Δ ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ




## Ἀπολυτίκιον

Τοῦ λίθου σφραγισθέντος ἦχος α'

Τοὺς ἄθλους τῶν ἁγίων, θερμῶς ἐπιζηλώσας, ἐδείχθης ἐν τῷ κόσμῳ, ἰσάγγελος τὸν βίον· ἐτίμησας ἣν εἴληφας ἀρχήν, τὸ τάλαντον αὐξήσας τοῦ Χριστοῦ, καὶ ὁσίως διαπρέψας, ταῖς ἀρεταῖς σου πάντας κατεφώτισας. Δόξα τῷ ὃν ἠγάπησας πολύ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ᾧ παρίστασαι Χριστῷ, πάτερ Γρηγόριε.

Τοῦ λίθου σφραγισθέντος

## Ἦχος Πα

Μελωδὸς*



# ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Ἀμήν.

## Ἦχος λ/π ἅ Νη

Δημητρίου Σουρλαντζῆ
Θ. Λειτουργία 1992 σ.1*




ἕτερα




## Τυπικὰ ὡς ψάλλονται ἐν Ἁγίῳ Ὄρει

α' στάσις

Ἦχος λ π Νη

καταγραφή
Λυκοῦργος Αγγελόπουλος*




τος ει Κυ ρι ε ευ λο γει η ψυ χη μου τον Κυ ρι ον
και πα αν τα τα εν τος μου το ο νο μα το α γι ον
αυ του
Ευ λο γει η ψυ χη μου τον Κυ ρι ον και μη
ε πι λαν θα νου πα σας τας αν τα πο δο σεις αυ του
Τον ευ ι λα τευ ον τα πα σας τας α νο μι
ας σου τον ι ω με νον πα σας τας νο σους σου
Τον λυ τρου με νον εκ φθο ρας την ζω ην σου τον στε
φα νουν τα σε εν ε λε ε ει και οι κτιρ μοις
Τον εμ πι πλων τα εν α γα θοις την ε πι θυ


μι ανσου α να και νι σθη σε ται ως α ε του η νε
ο της σου
Π οι ων ε λε η μο συ νας ο Κυ ρι ος και
κρι μα πα σι τοις α δι κου με νοις
Ε γνω ρι σε τας ο δους αυ του τω Μω υ ση
τοις Υι οις Ισ ρα ηλ τα θε λη μα τα αυ του
Ο ι κτιρ μων και ε λε η μων ο Κυ ρι ος μα
κρο θυ μος και πο λυ ε λε ος ουκ εις τε ε λος ορ
γι σθη σε ται ου δε εις τον αι ω να μη νι ει
Ο υ κα τα τας α νο μι ας η μων ε ποι


η σεν η μιν ου δε κα τα α τας α μαρ τι ας η
μω ων αν τα πε δω κεν η μιν
Ο τι κα τα το υ ψος του ου ρα νου α πο της
γης ε κρα ται ω σε Κυ ρι ος το ε λε ος αυ του
ε πι ι τους φο βου με νους αυ τον
Καθ ο σον α πε χου σιν α να το λαι α πο δυ
σμων ε μα κρυ νεν αφ η μων τας α νο μι ας η
μων
Κα θως οι κτι ρει Πα τηρ Υι ους ω κτει ρι σε
Κυ ρι ος τους φο βου με νους αυ τον ο τι αυ


τος ε γνω το πλα σμα η μων ε μνη σθη ο τι χους ε σμεν
Α ν θρω πος ω σει χορ τος αι η με ραι αυ του
ω σει α αν θος του α γρου ου τως εξ αν θη η η
σει
Ο τι πνευ μα δι ηλ θεν εν αυ τω και ουχ υ πα
αρ ξει και ουχ ε πι γνω σε ται ε τι τον το πον αυ του
Τ ο δε ε ε λε ος του Κυ ρι ου α πο του αι ω
ω ω νος και ε ως του αι ω νος ε πι τους φο βου
με νους αυ τον
Κ αι η δι και ο συ νη αυ του ε πι υι οις


υι ων τοις φυλ ασ σου σι την δι α θη κην αυ του ου
και με μνη με νοις των εν το λων αυ του του ποι η σαι
αυ τας
Κ υ ρι ος εν τω ου ρα νω η τοι μα σε τον θρο
νον αυ του ου και η βα σι λει α αυ του παν των δε
σπο ο ο ζει
Ε υ λο γει τε τον Κυ ρι ον παν τες οι αγ γε
λοι αυ του δυ να τοι ι σχυ ι ποι ουν τες τον λο
γον αυ του του α κου ου σαι της φω νης των λο γων
αυ του


Ευ λο γει τε τον Κυ ρι ον πα σαι αι δυ
να μεις αυ του λει τουρ γοι αυ του οι ποι ου ουν τες το θε
λημα αυ του
Ευ λο γει τε τον Κυ ρι ον παν τα τα ερ γα αυ
του εν παν τι το πω της δε σπο τει ας αυ του ευ
λο γει η ψυ χη μου τον Κυ ρι ον
Δο ξα Πα τρι ι και Υι ω και α γι ω
Πνευ μα τι
Και νυ υν και α ει και εις τους αι ω νας των
αι ω ω νων Α μην




Συναπτή

| | |
|---|---|
| Ἔτι καὶ ἔτι... | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον... | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου... | Σοί, Κύριε. |
| Ὅτι σὸν τὸ κράτος... | Ἀμήν. |

β' στάσις

Ἦχος Βυ

καταγραφή
Λυκούργος Αγγελόπουλος*




υ πα αρ χω
Μ η πε ποι θα τε επ α αρχον τας ε πι υι ους αν θρω ω
ω πων οις ουχ ε στι σω τη ρι ι α
Ε ξε λευ σε ται το πνε ευ μα αυ του και ε πι στρε
ψει εις την γην αυτου
Ε ν ε κει νη τη η με ρα α πο λου ουν ται παν τες
οι δι α λο γι σμοι αυτου
Μ α κα ρι ος ου ο Θε ος Ι α κωβ βο η θος αυ του
η ελ πις αυ του ε πι Κυ ρι ον τον Θε ον αυ του
Τ ον ποι η σαν τα τον ου ρα νον και την γην την


θα α λασ σαν και παν τα τα εν αυ τοις
Τ ον φυ λασ σον τα α λη θει αν εις τον αι ω ω να ποι
ουν τα κρι μα τοις α δι κου με ε νοις δι δον τα τρο φην
τοις πει νω ω σι
Κ υ ρι ος λυ ει πε πε δη με ε νους Κυ ρι ος σο φοι τυ
φλου ους Κυ ρι ος α νορ θοι κα τερ ρα γμε ε νους Κυ
ρι ος α γα πα δι και αι αι αι ους Κυ ρι ος φυ λασ
σει τους προ ση λυ τους
Ο ρ φα νον και χη ραν α να λη η ψε ται και ο
δον α μαρ τω λων α φα νι ει


Β α σι λευ σει Κυ ρι ος εις τον αι ω ωνα ο Θε
ος σου Σι ων εις γε νε αν και γε νε αν
Και νυ υν και α ει και εις τους αι ω νας των αι
ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος του Θε ου
Α θα να τος υ παρ χων και κα τα δε ξα με νος δι
α την η με τε ραν σω τη ρι αν σαρ κω θη ναι εκ
της α γι ας Θε ο το κου και α ει παρ θε νου Μα ρι
ι ας α τρε πτως εν αν θρω πη σας σταυ ρω θεις τε
Χρι στε ε ο Θε ος θα να α τω θα να τον πα τη




Συναπτὴ

| | |
|---|---|
| Ἔτι καὶ ἔτι... | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον... | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου... | Σοί, Κύριε. |
| Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... | Ἀμήν. |

## Μακαρισμοὶ

Πέτρου Εφεσίου
Αναστασιματάριον
1820 σ.116*

### Ἦχος Βȣ






## Κανὼν α´ τοῦ Ἁγίου, ᾠδὴ γ´

Εὐφραίνεται ἐπὶ σοί — ἦχος δ´

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Ἀκηλίδωτον νοῦν, τῇ ἀναλάμψει τῶν σεπτῶν πράξεων, ἔχων ἐδείχθης ἔσοπτρον, ἱεράρχα θείας λαμπρότητος.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Τῆς χάριτος ἀληθῶς, τῇ ἐπ᾽ ἐλπίδι τελεσθεὶς ὅσιε, ἱερουργὸς γέγονας, τοῦ Εὐαγγελίου τῆς χάριτος.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Τῶν λόγων σου τὸ τερπνόν, ὑπὲρ κηρίου γλυκασμὸν φέρουσα, ἡ Ἐκκλησία ἔνδοξε, ἐκπτύει πικρίαν αἱρέσεων.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Ὡς πύλην σε καὶ ναόν, τῆς θείας δόξης κοινωνὸν σέβοντες, Μῆτερ Θεοῦ πανάμωμε, πάντες τῶν κινδύνων λυτρούμεθα.

# Κανὼν β' τοῦ Ἁγίου, ᾠδὴ ς'

Ἱλάσθητί μοι Σωτὴρ ἦχος πλ.δ'

Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι
καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Ὁ πρόεδρος μὲν Ἄσσου, τῆς ἱερᾶς δὲ τὸ καύχημα, ἐξέλαμψεν ἀληθῶς, ἑῴας ὡς ἥλιος, καὶ πάντας ἐφαίδρυνε, ταῖς φαεινοτάταις, ἀστραπαῖς
τῶν διδαγμάτων αὐτοῦ.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἐν Ἱερᾷ μὲν ὁ σός, τάφος πηγάζει ἰάματα, τοῖς προσιοῦσιν αὐτῷ, ἀεὶ μετὰ πίστεως, παμμάκαρ Γρηγόριε, πνεῦμα δέ σου θεῖον, ἐν οὐρανοῖς νῦν αὐλίζεται.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐπιτελοῦσι πιστῶς, τὴν πάνσεπτόν σου πανήγυριν, παράσχου πάτερ σοφέ, ἡμῖν τῶν ἰάσεων, τὴν χάριν τὴν ἄφθονον, παῤῥησίαν ἔχων, πρὸς τὸν Κύριον δεόμεθα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὡς ἔμψυχος κιβωτός, τὸν Νομοδότην ἐχώρησας, ὡς ἅγιος δὲ ναός, ἐδέξω τὸν Ἅγιον, γενόμενον ἄνθρωπον, ἐπ' εὐεργεσίᾳ, τῶν ἀνθρώπων Ἀειπάρθενε.

## Εἰσοδικὸν

Ἦχος Δι

Πανδέκτη 1851 σ.27#



# Ἀπολυτίκιον

Τοῦ λίθου σφραγισθέντος ἦχος α΄

Τοὺς ἄθλους τῶν ἁγίων, θερμῶς ἐπιζηλώσας, ἐδείχθης ἐν τῷ κόσμῳ, ἰσάγγελος τὸν βίον· ἐτίμησας ἣν εἴληφας ἀρχήν, τὸ τάλαντον αὐξήσας τοῦ Χριστοῦ, καὶ ὁσίως διαπρέψας, ταῖς ἀρεταῖς σου πάντας κατεφώτισας. Δόξα τῷ ὃν ἠγάπησας πολύ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ᾧ παρίστασαι Χριστῷ, πάτερ Γρηγόριε.

Τοῦ λίθου σφραγισθέντος

## Ἦχος Πα

Μελωδὸς*






τοῦ ἁγίου τοῦ ναοῦ

## Κοντάκιον

ἦχος β΄

Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Ἦχος Δι

Γεωργίου Πρωγάκη
Μουσική Συλλογή
Θ. Λειτουργία
1909 σ.30/704#






Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Τρισάγιος ὕμνος

Ἦχος Δι

Γεωργίου Πρωγάκη
Μουσική Συλλογή
Θ. Λειτουργία 1909 σ.31*




τὸ τρίτον
ο ον η μα α ας
Α γι ος ο Θε ο ο ο ο ο ο ο ο ο ο ο
ο ος α γι ος ι σχυ ρο ο ο ος α α γι ι ι
ος α θα α α να α α α τος ε λε ε ε
η σο ο ον η μα α ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ε
ε ευ μα τι
Κ αι νυν και α ει ει και εις τους αι ω νας των
αι ω νων α μην
Α α α γι ι ι ος α θα α α να α




Ἦχος Δι

Γεώργιος Πρωγάκης
Μουσική Συλλογή
Θ. Λειτουργία 1909 σ.31*




## Ἀπόστολος

Προκείμενον. Ἦχος βαρύς.

Πρόσχωμεν

∴ Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. 115:6

∴ Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; 115:3

Σοφία

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. 7:26-28, 8:1-2

Πρόσχωμεν

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γάρ, ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι· περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ἡμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη σοι.

Ἦχος 

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.85#




τὸ τέλος




∴ Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. 111:1

∴ Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. 111:2

## Εὐαγγέλιον

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. 6:17-23

Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ἀπὸ πάσης τῆς Ἰουδαίας, καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ

Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, 18 καὶ οἱ ὀχλούμενοι
ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. 19 Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ·
ὅτι δύναμις παρ᾿ αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. 20 Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς
αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί· ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία
τοῦ Θεοῦ. 21 Μακάριοι οἱ πεινῶντες νῦν· ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν· ὅτι
γελάσετε. 22 Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς,
καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. 23
Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Πέτρου Λαμπαδαρίου

Ἦχος πλ. δ΄ Δι

Γεωργίου Πρωγάκη
Μουσική συλλογή
Λειτουργία 1909 σ.59/733*




## Ἐκτενὴς δέησις

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν· εἴπωμεν.
Κύριε, ἐλέησον.
Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον.
Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τῶν πρεσβυτέρων, τῶν διακόνων καὶ τῶν μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων σου, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει καὶ τῇ ἐνορίᾳ ταύτῃ, τῶν ἐπιτρόπων καὶ συνδρομητῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης, σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις αὐτῶν.

Κύριε, ἐλέησον. (γ')

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον. (γ')

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τῶν ἀπεκδεχομένων τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

### Δέησις ὑπὲρ τῶν κατηχουμένων

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κύριε, ἐλέησον.

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Κύριε, ἐλέησον.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Κύριε, ἐλέησον.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Κύριε, ἐλέησον.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεὸς τῇ σῇ χάριτι.

Κύριε, ἐλέησον.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Σοί, Κύριε.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε. Μή τις τῶν κατηχουμένων.

### Ἡ λειτουργία τῶν πιστῶν

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία.
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία!
Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Χερουβικὸν

Ζ-Β′

### Ἦχος Πα

Βυζαντινή Θ. Λειτουργία
Δημητρίου Σουρλαντζῆ
1992 σ.116#




ι ι ιμ μυ στι χω ω ως ει χο νι ι ι ζο
ον τε ε ε ες χαι αι αι αι αι τη ζω ο ο
ο ποι οι οι ζω ο ο ποι ω ω ω ω ω ω ω ω
ω Τρι α α α α α α α α α α α
χα λε ε Τρι ι α α α α α α α α α
α α α λε ε Τρι α α α α α α δι ι ι
ι τον τρισ α α γι ι ον υ υ υ μνον προσ α
α α δο ον τε ε ε ες πα σαν τη ην βι ο ο
τι ι χην α πο θω ω με ε ε θα με ε ε ρι
ι μνα α α αν




## Λειτουργικὰ

Βασιλείου Νικολαΐδου

Ἦχος Πα

Ανθολογία Λειτουργικών
Βασίλειος Μαυράγκανος
2013 σ.10#


ΠΑ
Κ υ ρι ε ε λε ε ε η σον
ΠΑ
Κ υ ρι ε ε λε ε ε η σον
ΠΑ
Κ υ ρι ε ε λε ε ε η σον
ΠΑ
Κ υ ρι ε ε λε ε ε η σον
ΠΑ
Π α ρα α σχουου Κυ υ υ ρι ε
ΠΑ
Π α ρα α σχου ου Κυ υ υ ρι ε
ΠΑ
Π α ρα α σχου ου Κυ υ υ ρι ε
ΠΑ
Π α ρα α σχου ου Κυ υ υ ρι ε
ΠΑ
C οι Κυ ρι ε
ΜΕΛ
λ μην




Τὰς θύρας, τὰς θύρας. Ἐν σοφίᾳ πρόσχωμεν.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.

Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾿ οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι᾿ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται

τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου·

πρόσχωμεν τὴν ἁγίαν ἀναφοράν, ἐν εἰρήνῃ προσφέρειν.






Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.


Α ξι ον ε στι ιν ως α λη η η θω ως
μα κα ρι ζει ειν σε την Θε ο ο το ο ο ο ο κο
ον την α ει μα κα α ρι ι στον και παν α μω
μη η η τον και μη τε ε ρα α του ου Θε ε ε ου
ου ου η η η μω ων την τι μι ω τε ε ε ραν των
Χε ρου ου ου βι ιμ και εν δο ξο τε ε ε ραν α
συγ κρι ι ι τω ω ως τω ω ων Σε ε ρα α α
φιμ την α δι α α φθο ο ο ο ρω ω ως Θε ο
ο ο ον Λο ο γον τε ε κου ου ου σα αν την ο ον




Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Κύριε, ἐλέησον.

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.

Καὶ πάντων καὶ πασῶν.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Παράσχου, Κύριε.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Παράσχου, Κύριε.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί, Κύριε.
Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Σοί, Κύριε.
Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Πρόσχωμεν, τὰ Ἅγια τοῖς ἁγίοις.
Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

# Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούια.

ἑβδομάδος
Πέτρου Λαμπαδαρίου

Ἦχος Ζω

Πανδέκτη
Θ. Λειτουργία
1851, σ.607#





NH ZΩ
ω ω ω ω ω ω νι ι ι ι ι ι αι αι ω ω ω
ω ω ω ω νι ι ι ο ο ο ο ο ο ο ο ο ο ον
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε σται αι αι ε σται αι δι ι ι ι ι ι ι
KE
ι ι ι ι χι ι ι ι ι ι ι ι ι ι ι χι ι
ΔΙ
ΠΑ
ι ι ι ι ι ι ι ι χι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι χι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι χι ι ι ι
NH
ZΩ
ι ι ιι ι ι ι ι ι ι ι ι ι ι ι ι δι




Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Ἀμήν, ἀμήν, ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

...συνέχεια κοινωνικοῦ...

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Πεντηκοστάριον
2005 σ.522*






Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## Ἦχος Δι

Ι.Μ.Βατοπαιδίου
Λειτουργία 2007*






Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων... Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...
Κύριε, ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί Κύριε.
Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ἐν εἰρήνῃ προέλθωμεν.
Ἐν ὀνόματι Κυρίου.
Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς ἄρχουσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Ἦχος  Δι

Δημητρίου Σουρλαντζῆ
Βυζαντινή Θεία Λειτουργία
1992 σ.562#






## Ἀπόλυσις

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾿ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Κύριε ἐλέησον. Κύριε ἐλέησον. Κύριε ἐλέησον. Εὐλόγησον πάτερ.
Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

*κατὰ τὴν ἀπόλυσιν*

## Ἦχος Δι

Δημητρίου Σουρλαντζῆ
Βυζαντινή Θεία Λειτουργία
1992 σ.563#




Φυλάξαι Κύριος ὁ Θεὸς πάντας ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

## Μεγαλυνάρια

Δεῦτε δὴ συνάχθητε ἡ πληθύς, ἡ τῶν Ὀρθοδόξων, τῆς Τριάδος οἱ λατρευταί, ὅπως ἐν αἰνέσει ὑμνήσωμεν ἀξίως, Ἄσσου τὸν ἱεράρχην, θεῖον Γρηγόριον.

Ὁ τῆς Μυτιλήνης μέγας φρουρός, καὶ τῆς τῶν Ἀσσέων, ἐν Ἑώᾳ σοφὸς ποιμήν, Γρηγόριε μάκαρ, τῆς ἱερᾶς τὸ θρέμμα, μὴ παύσῃ ἱκετεύων, ὑπὲρ τῶν δούλων σου.